La llengua d'Arquimedes en *De Sphaera et Cylindro*

Ramon Masià Fornos

Índex

Part I

Archimedis

De Sphaera et Cylindro

Libri II

Liber primus

⌜χαίρειν⌝

Ἀρχιμήδης Δοσιθέῳ χαίρειν

Πρότερον μὲν ἀπέσταλκά σοι τῶν ὑφ’ ἡμῶν τεθεωρημένων γράψας μετὰ ἀποδείξεως, ὅτι πᾶν τμῆμα τὸ περιεχόμενον ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομῆς ἐπίτριτόν ἐστι τριγώνου τοῦ βάσιν τὴν αὐτὴν ἔχοντος τῷ τμήματι καὶ ὕψος ἴσον. ὕστερον δὲ ἡμῖν ὑποπεσόντων θεωρημάτων ἀξίων λόγου πεπραγματεύμεθα περὶ τὰς ἀποδείξεις αὐτῶν. ἔστιν δὲ τάδε, πρῶτον μέν, ὅτι πάσης σφαίρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶν τοῦ μεγίστου κύκλου τῶν ἐν αὐτῇ, ἔπειτα δέ, ὅτι παντὸς τμήματος σφαίρας τῇ ἐπιφανείᾳ ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ εὐθείᾳ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος ἀγομένῃ ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ τμήματος, πρὸς δὲ τούτοις, ὅτι πάσης σφαίρας ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων ἴσην τῷ μεγίστῳ κύκλῳ τῶν ἐν τῇ σφαίρᾳ, ὕψος δὲ ἴσον τῇ διαμέτρῳ τῆς σφαίρας αὐτός τε ἡμιόλιός ἐστιν τῆς σφαίρας, καὶ ἡ ἐπιφάνεια αὐτοῦ τῆς ἐπιφανείας τῆς σφαίρας.

Ταῦτα δὲ τὰ συμπτώματα τῇ φύσει προυπῆρχεν περὶ τὰ εἰρημένα σχήματα, ἠγνοεῖτο δὲ ὑπὸ τῶν πρό ἡμῶν περὶ γεωμετρίαν ἀνεστραμμένων οὐδενὸς αὐτῶν ἐπινενοηκότος, ὅτι τούτων τῶν σχημάτων ἐστὶν συμμετρία, διόπερ οὐκ ἂν ὀκνήσαιμι ἀντιπαραβαλεῖν αὐτὰ πρός τε τὰ τοῖς ἄλλοις γεωμέτραις τεθεωρημένα καὶ πρὸς τὰ δόξαντα πολὺ ὑπερέχειν τῶν ὑπὸ Εὐδόξου περὶ τὰ στερεὰ θεωρηθέντων, ὅτι πασα πυραμὶς τρίτον ἐστὶ μέρος πρίσματος τοῦ βάσιν ἔχοντος τὴν αὐτὴν τῇ πυραμίδι καὶ ὕψος ἴσον, καὶ ὅτι πας κῶνος τρίτον μέρος ἐστὶν τοῦ κυλίνδρου τοῦ βάσιν ἔχοντος τὴν αὐτὴν τῷ κώνῳ καὶ ὕψος ἴσον, καὶ γὰρ τούτων προυπαρχόντων φυσικῶς περὶ ταῦτα τὰ σχήματα, πολλῶν πρό Εὐδόξου γεγενημένων ἀξίων λόγου γεωμετρῶν συνέβαινεν ὑπὸ πάντων ἀγνοεῖσθαι μηδ’ ὑφ’ ἑνὸς κατανοηθῆναι.

Ἐξέσται δὲ περὶ τούτων ἐπισκέψασθαι τοῖς δυνησομένοις. ὤφειλε μὲν οὖν Κόνωνος ἔτι ζῶντος ἐκδίδοσθαι ταῦτα, τῆνον γὰρ ὑπολαμβάνομεν που μάλιστα ἄν δύνασθαι κατανοῆσαι ταῦτα καὶ τὴν ἁρμόζουσαν ὑπὲρ αὐτῶν ἀπόφασιν ποιήσασθαι, δοκιμάζοντες δὲ καλῶς ἔχειν μεταδιδόναι τοῖς οἰκείοις τῶν μαθημάτων ἀποστέλλομεν σοι τὰς ἀποδείξεις ἀναγράψαντες, ὑπὲρ ὧν ἐξέσται τοῖς περὶ τὰ μαθήματα ἀναστρεφομένοις ἐπισκέψασθαι.

Ἐρρωμένως.

⌈Salutació⌉

Arquimedes a Dositeu, salut.

De les propietats que hem investigat, t'he enviat anteriorment aquestes, que vam redactar acompanyant-les d'una demostració: que tot segment comprès tant per una recta com per una secció de con recte és quatre terços d'un triangle que té la mateixa base que el segment i altura igual. Després, però, com que se'ns van acudir alguns teoremes dignes de menció, hem treballat en la seva demostració. I són aquests: en primer lloc, que la superfície de tota esfera és el quàdruple del cercle màxim dels seus cercles; després, que, a la superfície de tot segment d'esfera és igual un cercle el radi del qual és igual a la recta conduïda des del vèrtex del segment fins a la circumferència del cercle que és base del segment; i, a més d'aquests, que, de tota esfera, el cilindre que té base igual al cercle màxim dels cercles en l'esfera, mentre que altura igual al diàmetre de l'esfera tant és, ell mateix, una hemiòlia de l'esfera, com la seva superfície una hemiòlia de la superfície de l'esfera.

I aquestes propietats referents a les figures esmentades preexistien en la natura, però eren desconegudes per als qui s'han ocupat de la geometria abans que nosaltres: cap d'ells no havia arribat a concebre que la commensurabilitat era pròpia d'aquestes figures. I, precisament per això, jo no dubtaria a equiparar-les tant amb les investigades per la resta de geòmetres com també amb les que semblen destacar de les investigades per Eudox sobre els sòlids: que tota piràmide és una tercera part d'un prisma que té la mateixa base que la piràmide i altura igual; i que tot con és una tercera part del cilindre que té la mateixa base que el con i altura igual. I, en efecte, per bé que les propietats sobre aquestes figures preexistien naturalment i han estat molts els geòmetres dignes de menció abans d'Eudox, succeïa que tothom les desconeixia i no havien estat mai copsades per ningú.

I, els qui en tinguin la capacitat, podran examinar-les. Certament, s'haurien d'haver lliurat en vida de Conó, ja que suposem que és ell qui més podria copsar-les i fer-ne un judici afinat. però, admetent que és bo fer-ne partícips els familiaritzats amb les matemàtiques, t'enviem les demostracions per tal que es facin públiques i així podran examinar-les els qui s'ocupen de les matemàtiques.

Que estiguis bo.

⌈ἀξιώματα καὶ λαμβανόμενα⌉

Γράφονται πρῶτον τά τε ἀξιώματα καὶ τὰ λαμβανόμενα εἰς τὰς ἀποδείξεις αὐτῶν.

⌈1⌉Εἰσί τινες ἐν ἐπιπέδῳ καμπύλαι γραμμαὶ πεπερασμέναι, αἳ τῶν τὰ πέρατα ἐπιζευγνυουσῶν αὐτῶν εὐθειῶν ἤτοι ὅλαι ἐπὶ τὰ αὐτά εἰσιν ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα.

⌈2⌉Ἐπὶ τὰ αὐτὰ δὴ κοίλην καλῶ τὴν τοιαύτην γραμμήν, ἐν ᾗ ἐὰν δύο σημείων λαμβανομένων ὁποιωνοῦν αἱ μεταξὺ τῶν σημείων εὐθεῖαι ἤτοι πασαι ἐπὶ τὰ αὐτὰ πίπτουσιν τῆς γραμμῆς, ἢ τινὲς μὲν ἐπὶ τὰ αὐτά, τινὲς δὲ κατ’ αὐτῆς, ἐπὶ τὰ ἕτερα δὲ μηδεμία.

⌈3⌉Ὁμοίως δὴ καὶ ἐπιφάνειαί τινές εἰσιν πεπερασμέναι, αὐταὶ μὲν οὐκ ἐν ἐπιπέδῳ, τὰ δὲ πέρατα ἔχουσαι ἐν ἐπιπέδῳ, καὶ τοῦ ἐπιπέδου, ἐν ᾧ τὰ πέρατα ἔχουσιν, ἤτοι ὅλαι ἐπὶ τὰ αὐτὰ ἔσονται ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα.

⌈4⌉Ἐπὶ τὰ αὐτὰ δὴ κοίλας καλῶ τὰς τοιαύτας ἐπιφανείας, ἐν αἷς ἂν δύο σημείων λαμβανομένων αἵ μεταξὺ τῶν σημείων εὐθεῖαι ἤτοι πασαι ἐπὶ τὰ αὐτὰ πίπτουσιν τῆς ἐπιφανείας, ἢ τινὲς μὲν ἐπὶ τὰ αὐτά, τινὲς δὲ κατ’ αὐτῆς, ἐπὶ τὰ ἕτερα δὲ μηδεμία.

⌈5⌉Τομέα δὲ στερεὸν καλῶ, ἐπειδὰν σφαῖραν κῶνος τέμνῃ κορυφὴν ἔχων πρὸς τῷ κέντρῳ τῆς σφαίρας, τὸ ἐμπεριεχόμενον σχῆμα ὑπό τε τῆς ἐπιφανείας τοῦ κώνου καὶ τῆς ἐπιφανείας τῆς σφαίρας ἐντὸς τοῦ κώνου. ⌈6⌉Ῥόμβον δὲ καλῶ στερεόν, ἐπειδὰν δύο κῶνοι τὴν αὐτὴν βάσιν ἔχοντες τὰς κορυφὰς ἔχωσιν ἐφ’ ἑκάτερα τοῦ ἐπιπέδου τῆς βάσεως, ὅπως οἱ ἄξονες αὐτῶν ἐπ’εὐθείας ὦσι κείμενοι, τὸ ἐξ ἀμφοῖν τοῖν κώνοιν συγκείμενον στερεὸν σχῆμα.

Λαμβάνω δὲ ταῦτα·

⌈1⌉Τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐλαχίστην εἶναι τὴν εὐθεῖαν. ⌈2⌉Τῶν δὲ ἄλλων γραμμῶν, ἐὰν ἐν ἐπιπέδῳ οὖσαι τὰ αὐτὰ πέρατα ἔχωσιν, ἀνίσους εἶναι τὰς τοιαύτας, ἐπειδὰν ὦσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ ἤτοι ὅλη περιλαμβάνηται ἡ ἑτέρα αὐτῶν ὑπὸ τῆς ἑτέρας καὶ τῆς εὐθείας τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ, ἢ τινὰ μὲν περιλαμβάνηται, τινὰ δὲ κοινὰ ἔχῃ, καὶ ἐλάσσονα εἶναι τὴν περιλαμβανομένην.

⌈3⌉Ομοίως δὲ καὶ τῶν ἐπιφανειῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδῳ τὰ πέρατα ἔχωσιν, ἐλάσσονα εἶναι τὴν ἐπίπεδον. ⌈4⌉Τῶν δὲ ἄλλων ἐπιφανειῶν καὶ

⌈Definicions i assumpcions⌉

Són redactades primer tant les definicions com les assumpcions per a les demostracions de les propietats.

⌈1⌉Hi ha en el pla certes línies corbes limitades que, o bé la seva totalitat són sobre un mateix costat de les rectes que uneixen els seus límits, o bé no tenen res sobre l'altre costat.

⌈2⌉Anomenaré, doncs, còncava sobre un mateix costat aquella línia en la qual, sempre que prenguem dos punts qualssevol, les rectes entre aquests punts, o bé cauran totes sobre un mateix costat de la línia, o bé unes sobre un mateix costat mentre que les altres per la mateixa línia, i cap sobre l'altre costat.

⌈3⌉D'una manera semblant, doncs, hi ha superfícies limitades que no hi són, elles mateixes, en un pla, mentre que tenen els seus límits en un pla i, o bé llur totalitat estarà sobre un mateix costat del pla en el qual tenen els límits, o bé no tenen res sobre l'altre costat.

⌈4⌉Anomenaré, doncs, còncaves sobre un mateix costat aquelles superfícies en les quals, un cop presos dos punts qualssevol, les rectes entre aquests punts, o bé cauen totes sobre un mateix costat de la superfície, o bé unes sobre un mateix costat, mentre que les altres per la mateixa recta, i cap sobre l'altre costat.

⌈5⌉I, quan un con talli una esfera, tenint vèrtex vers el centre de l'esfera, anomenaré sector sòlid la figura continguda tant dins de la superfície del con com dins de la superfície de l'esfera dins del con. ⌈6⌉I, quan dos cons que tenen la mateixa base tinguin els vèrtexs sobre cadascun dels costats del pla de la base, de tal manera que els seus eixos estiguin posats sobre una recta, anomenaré rombe sòlid la figura sòlida composta a partir d'ambdós cons.

I assumeixo això:

⌈1⌉ De les línies que tenen els mateixos límits la menor és la recta. ⌈2⌉ I, de les altres línies, sempre que, d'un pla estant, tinguin els mateixos límits, dues línies són desiguals quan ambdues siguin còncaves sobre un mateix costat i, o bé la totalitat d'una d'aquestes estigui continguda per l'altra i per la recta que té els mateixos límits que aquesta, o bé una part estigui continguda mentre que l'altra la tingui en comú, i és més petita la continguda.

⌈3⌉I, també, d'una manera semblant, de les superfícies que tenen els mateixos límits, sempre que tinguin els límits en un pla, és més petita la superfície plana.

τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδῳ τὰ πέρατα ᾖ, ἀνίσους εἶναι τὰς τοιαύτας, ἐπειδὰν ὦσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ ἤτοι ὅλη περιλαμβάνηται ὑπὸ τῆς ἑτέρας ἡ ἑτέρα ἐπιφάνεια καὶ τῆς ἐπιπέδου τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ, ἢ τινὰ μὲν περιλαμβάνηται, τινὰ δὲ κοινὰ ἔχῃ, καὶ ἐλάσσονα εἶναι τὴν περιλαμβανομένην.

⌈5⌉Ἔτι δὲ τῶν ἀνίσων γραμμῶν καὶ τῶν ἀνίσων ἐπιφανειῶν καὶ τῶν ἀνίσων στερεῶν τὸ μεῖζον τοῦ ἐλάσσονος ὑπερέχειν τοιούτῳ, ὃ συντιθέμενον αὐτὸ ἑαυτῷ δυνατόν ἐστιν ὑπερέχειν παντὸς τοῦ προτεθέντος τῶν πρὸς ἄλληλα λεγομένων.

⌈4⌉I, de les altres superfícies que també tenen els mateixos límits, sempre que estiguin en un pla, dues superfícies són desiguals quan ambdues siguin còncaves sobre un mateix costat i, o bé la totalitat d'una superfície estigui continguda per l'altra i per la superfície plana que té els mateixos límits que aquesta, o bé una part estigui continguda mentre que l'altra la tingui en comú, i és més petita la continguda.

⌈5⌉I, a més, la més gran de dues línies desiguals (i de dues superfícies desiguals i de dos sòlids desiguals) supera la més petita en una quantitat tal que, component-se amb ella mateixa, és possible superar tota quantitat proposada de les que diem que, l'una respecte de l'altra, <tenen relació>.

⌈0⌉

Τούτων δὲ ὑποκειμένων, ἐὰν εἰς κύκλον πολύγωνον ἐγγραφῇ, φανερόν, ὅτι ἡ περίμετρος τοῦ ἐγγραφέντος πολυγώνου ἐλάσσων ἐστὶν τῆς τοῦ κύκλου περιφερείας· ἑκάστη γὰρ τῶν τοῦ πολυγώνου πλευρῶν ἐλάσσων ἐστὶ τῆς τοῦ κύκλου περιφερείας τῆς ὑπὸ τῆς αὐτῆς ἀποτεμνομένης.

⌈α′⌉

Ἐὰν περὶ κύκλον πολύγωνον περιγραφῇ, ἡ τοῦ περιγραφέντος πολυγώνου περίμετρος μείζων ἐστὶν τῆς περιμέτρου τοῦ κύκλου.

περὶ γὰρ κύκλον πολύγωνον περιγεγράφθω τὸ ὑποκείμενον. λέγω, ὅτι ἡ περίμετρος τοῦ πολυγώνου μείζων ἐστὶν τῆς περιμέτρου τοῦ κύκλου.

ἐπεὶ γὰρ συναμφότερος ἡ ΒΑΛ μείζων ἐστὶ τῆς ΒΛ περιφερείας διὰ τὸ τὰ αὐτὰ πέρατα ἔχουσαν περιλαμβάνειν τὴν περιφέρειαν, ὁμοίως δὲ καὶ συναμφότερος μὲν ἡ ΔΓ, ΓΒ τῆς ΔΒ, συναμφότερος δὲ ἡ ΛΚ, ΚΘ τῆς ΛΘ, συναμφότερος δὲ ἡ ΖΗΘ τῆς ΖΘ, ἔτι δὲ συναμφότερος ἡ ΔΕ, ΕΖ τῆς ΔΖ, ὅλη ἄρα ἡ περίμετρος τοῦ πολυγώνου μείζων ἐστὶ τῆς περιφερείας τοῦ κύκλου.



⌈0⌉

I suposant el mateix, sempre que un polígon sigui inscrit a un cercle, és clar que el perímetre del polígon inscrit serà més petit que la circumferència del cercle. En efecte, cada un dels costats del polígon és més petit que la circumferència del cercle retallat per aquest.

⌈1⌉

Sempre que un polígon sigui circumscrit al voltant d’un cercle, el perímetre del polígon circumscrit serà més gran que el perímetre del cercle.

En efecte, estigui un polígon circumscrit al voltant d’un cercle, el suposat. Jo dic que el perímetre del polígon és més gran que el perímetre del cercle.

En efecte, atès que ΒΑΛ, conjuntament, és més gran que la circumferència ΒΛ, pel fet que tenen els mateixos límits i que <ΒΑΛ> conté la circumferència i, d’una manera semblant, també ΔΓ, ΓΒ, conjuntament, més gran que ΔΒ, mentre que ΛΚ, ΚΘ, conjuntament, més gran que ΛΘ, i ΖΗΘ, conjuntament, més gran que ΖΘ i, a més, ΔΕ, ΕΖ, conjuntament, que ΔΖ, per tant, la totalitat del perímetre del polígon és més gran que la circumferència del cercle.



⌈β′⌉

Δύο μεγεθῶν ἀνίσων δοθέντων δυνατόν ἐστιν εὑρεῖν δύο εὐθείας ἀνίσους, ὥστε τὴν μείζονα εὐθεῖαν πρὸς τὴν ἐλάσσονα λόγον ἔχειν ἐλάσσονα ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.

ἔστω δύο μεγέθη ἄνισα τὰ ΑΒ, Δ, καὶ ἔστω μεῖζον τὸ ΑΒ. λέγω, ὅτι δυνατόν ἐστι δύο εὐθείας ἀνίσους εὑρεῖν τὸ εἰρημένον ἐπίταγμα ποιούσας.

κείσθω [διὰ τὸ β᾽ τοῦ α᾽ τῶν Εὐκλείδου] τῷ Δ ἴσον τὸ ΒΓ, καὶ κείσθω τις εὐθεῖα γραμμὴ ἡ ΖΗ· τὸ δὴ ΓΑ ἑαυτῷ ἐπισυντιθέμενον ὑπερέξει τοῦ Δ. πεπολλαπλασιάσθω οὖν, καὶ ἔστω τὸ ΑΘ, καὶ ὁσαπλάσιόν ἐστι τὸ ΑΘ τοῦ ΑΓ, τοσαυταπλάσιος ἔστω ἡ ΖΗ τῆς ΗΕ· ἔστιν ἄρα, ὡς τὸ ΘΑ πρὸς ΑΓ, οὕτως ἡ ΖΗ πρὸς ΗΕ. καὶ ἀνάπαλίν ἐστιν, ὡς ἡ ΕΗ πρὸς ΗΖ, οὕτως τὸ ΑΓ πρὸς ΑΘ. καὶ ἐπεὶ μεῖζόν ἐστιν τὸ ΑΘ τοῦ Δ, τουτέστι τοῦ ΓΒ, τὸ ἄρα ΓΑ πρὸς τὸ ΑΘ λόγον ἐλάσσονα ἔχει ἤπερ τὸ ΓΑ πρὸς ΓΒ. ἀλλ᾽ ὡς τὸ ΓΑ πρὸς ΑΘ, οὕτως ἡ ΕΗ πρὸς ΗΖ. ἡ ΕΗ ἄρα πρὸς ΗΖ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΓΑ πρὸς ΓΒ. καὶ συνθέντι ἡ ΕΖ ἄρα πρὸς ΖΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΑΒ πρὸς ΒΓ [διὰ λῆμμα]. ἴσον δὲ τὸ ΒΓ τῷ Δ· ἡ ΕΖ ἄρα πρὸς ΖΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΑΒ πρὸς τὸ Δ.

εὑρημέναι εἰσὶν ἄρα δύο εὐθεῖαι ἄνισοι ποιοῦσαι τὸ εἰρημένον ἐπίταγμα [τουτέστιν τὴν μείζονα πρὸς τὴν ἐλάσσονα λόγον ἔχειν ἐλάσσονα ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον].



[2]

Donades dues magnituds desiguals és possible trobar dues rectes desiguals, de manera que la recta més gran respecte de la més petita tingui una raó més petita que la magnitud més gran respecte de la més petita.

Heus aquí dues magnituds desiguals AB, Δ, i sigui més gran AB. Jo dic que és possible trobar dues rectes desiguals complint el requisit esmentat.

Estigui BΓ posada igual a Δ i estigui una certa línia recta ZH posada. ΓA, superposant-se a ella mateixa, superarà, doncs, Δ. Així, doncs, estigui multiplicada i heus aquí <el resultat> AΘ, i que quantes vegades AΘ és d'AΓ, tantes ho sigui ZH d'HE. Per tant, com ΘA respecte d'AΓ, així és ZH respecte d'HE. I, per inversió, com EH respecte d'HZ, així AΓ respecte d'AΘ. I, atès que AΘ és més gran que Δ (és a dir, que ΓB), per tant, ΓA respecte d'AΘ té una raó més petita que ΓA respecte de ΓB. Tanmateix, com ΓA respecte d'AΘ, així EH respecte d'HZ. Per tant, EH respecte d'EZ té una raó més petita que ΓA respecte de ΓB. I, per composició, per tant, EZ respecte de ZH té una raó més petita que AB respecte de BΓ [pel lema]. Però BΓ és igual a Δ. Per tant, EZ respecte de ZH té una raó més petita que AB respecte de Δ.

S'han trobat, per tant, dues rectes desiguals que compleixen el requisit esmentat, [és a dir, la més gran respecte de la més petita té una raó més petita que la magnitud més gran respecte de la més petita].



⌈γ′⌉

Δύο μεγεθῶν ἀνίσων δοθεντων καὶ κύκλου δυνατόν ἐστιν εἰς τὸν κύκλον πολύγωνον ἐγγράψαι καὶ ἄλλο περιγράψαι, ὅπως ἡ τοῦ περιγραφομένου πολυγώνου πλευρὰ πρὸς τὴν τοῦ ἐγγραφομένου πολυγώνου πλευρὰν ἐλάσσονα λόγον ἔχῃ ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλαττον.

ἔστω τὰ δοθέντα δύο μεγέθη τὰ Α, Β, ὁ δὲ δοθεὶς κύκλος ὁ ὑποκείμενος. λέγω οὖν, ὅτι δυνατόν ἐστι ποιεῖν τὸ ἐπίταγμα.

εὑρήσθωσαν γὰρ δύο εὐθεῖαι αἱ Θ, ΚΛ, ὧν μείζων ἔστω ἡ Θ, ὥστε τὴν Θ πρὸς τὴν ΚΛ ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλαττον, καὶ ἤχθω ἀπὸ τοῦ Λ τῇ ΛΚ πρὸς ὀρθὰς ἡ ΛΜ, καὶ ἀπὸ τοῦ Κ τῇ Θ ἴση κατήχθω ἡ ΚΜ [δυνατὸν γὰρ τοῦτο], καὶ ἤχθωσαν τοῦ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΓΒ, ΔΖ. τέμνοντες οὖν τὴν ὑπὸ τῶν ΔΗΓ γωνίαν δίχα καὶ τὴν ἡμίσειαν αὐτῆς δίχα καὶ αἰεὶ τοῦτο ποιοῦντες λείψομέν τινα γωνίαν ἐλάσσονα ἢ διπλασίαν τῆς ὑπὸ ΛΚΜ. λελείφθω καὶ ἔστω ἡ ὑπὸ ΝΗΓ, καὶ ἐπεζεύχθω ἡ ΝΓ. ἡ ἄρα ΝΓ πολυγώνου ἐστὶ πλευρὰ ἰσοπλεύρου [ἐπείπερ ἡ ὑπὸ ΝΗΓ γωνία μετρεῖ τὴν ὑπὸ ΔΗΓ ὀρθὴν οὖσαν, καὶ ἡ ΝΓ ἄρα περιφέρεια μετρεῖ τὴν ΓΔ τέταρτον οὖσαν κύκλου·] [ὥστε καὶ τὸν κύκλον μετρεῖ. πολυγώνου ἄρα ἐστὶ πλευρὰ ἰσοπλεύρου· φανερὸν γάρ ἐστι τοῦτο]. καὶ τετμήσθω ἡ ὑπὸ ΓΗΝ γωνία δίχα τῇ ΗΞ εὐθείᾳ, καὶ ἀπὸ τοῦ Ξ ἐφαπτέσθω τοῦ κύκλου ἡ ΟΞΠ, καὶ ἐκβεβλήσθωσαν αἱ ΗΝΠ, ΗΓΟ· ὥστε καὶ ἡ ΠΟ πολυγώνου ἐστὶ πλευρὰ τοῦ περιγραφομένου περὶ τὸν κύκλον καὶ ἰσοπλεύρου [φανερόν, ὅτι καὶ ὁμοίου τῷ ἐγγραφομένῳ, οὗ πλευρὰ ἡ ΝΓ].

ἐπεὶ δὲ ἐλάσσων ἐστὶν ἢ διπλασία ἡ ὑπὸ ΝΗΓ τῆς ὑπὸ ΛΚΜ, διπλασία δὲ τῆς ὑπὸ ΤΗΓ, ἐλάσσων ἄρα ἡ ὑπὸ ΤΗΓ τῆς ὑπὸ ΛΚΜ. καί εἰσιν ὀρθαὶ αἱ πρὸς τοῖς Λ, Τ· ἡ ἄρα ΜΚ πρὸς ΛΚ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΗ πρὸς ΗΤ. ἴση δὲ ἡ ΓΗ τῇ ΗΞ· ὥστε ἡ ΗΞ πρὸς ΗΤ ἐλάσσονα λόγον ἔχει, τουτέστιν ἡ ΠΟ πρὸς ΝΓ, ἤπερ ἡ ΜΚ πρὸς ΚΛ· ἔτι δὲ ἡ ΜΚ πρὸς ΚΛ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ Α πρὸς τὸ Β. καί ἐστιν ἡ μὲν ΠΟ πλευρά τοῦ περιγραφομένου πολυγώνου, ἡ δὲ ΓΝ τοῦ ἐγγραφομένου· ὅπερ προέκειτο εὑρεῖν.



[3]

Donades dues magnituds desiguals i un cercle, és possible inscriure un polígon al cercle i circumscriure-n'hi un altre, de tal manera que un costat del polígon circumscrit respecte d'un costat del polígon inscrit tingui una raó més petita que la magnitud més gran respecte de la més petita.

Heus aquí dues magnituds donades A, B, i un cercle donat, el suposat. Jo dic, doncs, que és possible complir el requisit.

En efecte, estiguin trobades dues rectes Θ, ΚΛ, de les quals sigui més gran Θ, de manera que Θ respecte de ΚΛ tingui una raó més petita que la magnitud més gran respecte de la més petita. Estigui conduïda ΛΜ des de Λ ortogonal a ΛΚ, i estigui conduïda cap avall ΚΜ des de Κ igual a Θ [ja que això és possible]. Estiguin conduits dos diàmetres del cercle ortogonal l'un a l'altre, ΓΒ, ΔΖ. Així, doncs, tallant l'angle comprès per ΔΗΓ en dos, i la seva meitat en dos, i això fent-ho repetidament, restaran uns certs angles més petits que el doble de l'angle ΛΚΜ. Que n'hagi restat un i heu-lo aquí, l'angle ΝΗΓ. Estigui unit ΝΓ. Per tant, ΝΓ és un costat d'un polígon equilàter [atès que l'angle per ΝΗΓ mesura precisament el comprès per ΔΗΓ, que és ortogonal, per tant, també la circumferència ΝΓ mesura el ΓΔ, que és la quarta part del cercle, de manera que també mesura el cercle. Per tant, és un costat d'un polígon equilàter, ja que això és clar.] Estigui l'angle comprès per ΓΗΝ tallat en dos amb la recta ΗΞ, estigui ΟΞΠ tocant el cercle des de Ξ, i estiguin allargades ΗΝΠ, ΗΓΟ, de manera que ΠΟ també sigui un costat d'un polígon circumscrit al voltant del cercle i equilàter [és clar que també és semblant a l'inscrit, el costat del qual és ΝΓ.]

I, atès que l'angle ΝΗΓ és més petit que el doble de l'angle ΛΚΜ (i que el doble de l'angle ΤΗΓ), per tant, l'angle ΤΗΓ és més petit que l'angle ΛΚΜ. I els angles vers Λ, Τ són ortogonals. Per tant, ΜΚ respecte de ΛΚ té una raó més gran que ΓΗ respecte d'ΗΤ. Però ΓΗ és igual a ΗΞ, de manera que ΗΞ respecte d'ΗΤ (és a dir, ΠΟ respecte de ΝΓ) té una raó més petita que ΜΚ respecte de ΚΛ. Però, a més, ΜΚ respecte de ΚΛ té una raó més petita que Α respecte de Β. I ΠΟ és un costat del polígon circumscrit, mentre que ΓΝ ho és de l'inscrit, cosa que precisament s'havia proposat de trobar.



⌈δ′⌉

Πάλιν δύο μεγεθῶν ἀνίσων ὄντων καὶ τομέως δυνατόν ἐστι περὶ τὸν τομέα πολύγωνον περιγράψαι καὶ ἄλλο ἐγγράψαι, ὥστε τὴν τοῦ περιγεγραμμένου πλευρὰν πρὸς τὴν τοῦ ἐγγεγραμμένου πλευρὰν ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.

ἔστω γὰρ πάλιν δύο μεγέθη ἄνισα τὰ Ε, Ζ, ὧν μεῖζον ἔστω τὸ Ε, κύκλος δέ τις ὁ ΑΒΓ κέντρον ἔχων τὸ Δ, καὶ πρὸς τῷ Δ τομεὺς συνεστάτω ὁ ΑΔΒ. δεῖ δὴ περιγράψαι καὶ ἐγγράψαι πολύγωνον περὶ τὸν ΑΒΔ τομέα ἴσας ἔχον τὰς πλευρὰς χωρὶς τῶν ΒΔΑ, ὅπως γένηται τὸ ἐπίταγμα.

εὑρήσθωσαν γὰρ δύο εὐθεῖαι αἱ Η, ΘΚ ἄνισοι καὶ μείζων ἡ Η, ὥστε τὴν Η πρὸς τὴν ΘΚ ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον [δυνατὸν γὰρ τοῦτο], καὶ ἀπὸ τοῦ Θ ὁμοίως ἀχθείσης πρὸς ὀρθὰς τῇ ΚΘ προσβεβλήσθω τῇ Η ἴση ἡ ΚΛ [δυνατὸν γάρ, ἐπεὶ μείζων ἐστὶν ἡ Η τῆς ΘΚ]. τεμνομένης δὴ τῆς ὑπὸ τῶν ΑΔΒ γωνίας δίχα καὶ τῆς ἡμισείας δίχα καὶ ἀεὶ τούτου γινομένου λειφθήσεταί τις γωνία ἐλάσσων οὖσα ἢ διπλασία τῆς ὑπὸ ΛΚΘ. λελείφθω οὖν ἡ ὑπὸ ΑΔΜ· ἡ ΑΜ οὖν γίνεται πολυγώνου πλευρὰ ἐγγραφομένου εἰς τὸν κύκλον. καὶ ἐὰν τέμωμεν τὴν ὑπὸ ΑΔΜ γωνίαν δίχα τῇ ΔΝ καὶ ἀπὸ τοῦ Ν ἀγάγωμεν ἐφαπτομένην τοῦ κύκλου τὴν ΞΝΟ, αὕτη πλευρὰ ἔσται τοῦ πολυγώνου τοῦ περιγραφομένου περὶ τὸν αὐτὸν κύκλον ὁμοίου τῷ εἰρημένῳ· καὶ ὁμοίως τοῖς προειρημένοις ἡ ΞΟ πρὸς τὴν ΑΜ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ Ε μέγεθος πρὸς τὸ Ζ.



⌈4⌉

Havent-hi al seu torn dues magnituds desiguals i un sector, és possible circumscriure un polígon al voltant del sector i inscriure-n'hi un altre, de manera que el costat del polígon circumscrit respecte del costat del polígon inscrit tingui una raó més petita que la magnitud més gran respecte de la més petita.

En efecte, heus aquí, al seu torn, dues magnituds desiguals E, Z, de les quals sigui més gran, E i un cert cercle ΑΒΓ, que té centre Δ. Que s'erigeixi un sector ΑΔΒ vers Δ. Cal, doncs, circumscriure i inscriure un polígon al voltant del sector ΑΒΔ que tingui els costats iguals, llevat de ΒΔΑ, de tal manera que en resulti el requisit.

En efecte, estiguin trobades dues rectes desiguals H, ΘΚ, més gran H, de manera que H respecte de ΘΚ tingui una raó més petita que la magnitud més gran respecte de la més petita [ja que això és possible]. D'una manera semblant, estigui prolongada ΚΛ igual a H, conduint-la des de Θ ortogonal a ΚΘ [ja que és possible, atès que H és més gran que ΘΚ]. Un cop tallat, doncs, en dos l'angle comprès per ΑΔΒ, la meitat tallada en dos, i esdevenint-se això repetidament, restarà un cert angle més petit que el doble de l'angle ΛΚΘ. Així, doncs, n'hagi restat l'angle ΑΔΜ. Així, doncs, ΑΜ resulta un costat del polígon inscrit al cercle. I, sempre que tallem l'angle per ΑΔΜ en dos en ΔΝ, i des de Ν conduïmΝΞΟ tocant el cercle, aquesta <recta> serà un costat del polígon circumscrit al voltant del mateix cercle, semblant a l'esmentat <polígon>. I, d'una manera semblant al que s'ha esmentat abans, ΞΟ respecte d'ΑΜ té una raó més petita que la magnitud E respecte de Z.



⌈ε′⌉

Κύκλου δοθέντος καὶ δύο μεγεθῶν ἀνίσων περιγράψαι περὶ τὸν κύκλον πολύγωνον καὶ ἄλλο ἐγγράψαι, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.

ἐκκείσθω κύκλος ὁ Α καὶ δύο μεγέθη ἄνισα τὰ Ε, Ζ καὶ μεῖζον τὸ Ε. δεῖ οὖν πολύγωνον ἐγγράψαι εἰς τὸν κύκλον καὶ ἄλλο περιγράψαι, ἵνα γένηται τὸ ἐπιταχθέν.

λαμβάνω γὰρ δύο εὐθείας ἀνίσους τὰς Γ, Δ, ὧν μείζων ἔστω ἡ Γ, ὥστε τὴν Γ πρὸς τὴν Δ ἐλάσσονα λόγον ἔχειν ἢ τὴν Ε πρὸς τὴν Ζ· καὶ τῶν Γ, Δ μέσης ἀνάλογον ληφθείσης τῆς Η μείζων ἄρα καὶ ἡ Γ τῆς Η. περιγεγράφθω δὴ περὶ κύκλον πολύγωνον καὶ ἄλλο ἐγγεγράφθω, ὥστε τὴν τοῦ περιγραφέντος πολυγώνου πλευραν πρὸς τὴν τοῦ ἐγγραφέντος ἐλάσσονα λόγον ἔχειν ἢ τὴν Γ πρὸς τὴν Η [καθώς ἐμάθομεν]· διὰ τοῦτο δὴ καὶ ὁ διπλάσιος λόγος τοῦ διπλασίου ἐλάσσων ἐστί. καὶ τοῦ μὲν τῆς πλευρᾶς πρὸς τὴν πλευρὰν διπλάσιός ἐστι ὁ τοῦ πολυγώνου πρὸς τὸν πολύγωνον [ὅμοια γάρ], τῆς δὲ Γ πρὸς τὴν Η ὁ τῆς Γ πρὸς τὴν Δ· καὶ τὸ περιγραφὲν ἄρα πολύγωνον πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ Γ πρὸς τὴν Δ. πολλῷ ἄρα τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ Ε πρὸς τὸ Ζ.



[5]

Donat un cercle i dues magnituds desiguals, circumscriure un polígon al voltant del cercle i inscriure-n'hi un altre, de manera que el circumscrit respecte de l'inscrit tingui una raó més petita que la magnitud més gran respecte de la més petita.

Estigui disposat un cercle A, i dues magnituds desiguals E, Z, més gran E. Així, doncs, cal inscriure un polígon al cercle i circumscriure-n'hi un altre, per tal que es compleixi el requeriment.

En efecte, prenc dues rectes desiguals Γ, Δ, de les quals sigui més gran Γ, de manera que Γ respecte de Δ tingui una raó més petita que E respecte de Z. I, prenent H una mitjana proporcional de Γ, Δ, Γ és, per tant, també més gran que H. Estigui circumscrit, doncs, un polígon al voltant dle cercle i n'hi estigui inscrit un altre, de manera que el costat del polígon circumscrit respecte de l'inscrit tingui una raó més petita que Γ respecte d'H [com hem après abans]. Per això, doncs, també la raó doble és més petita que la raó doble. I la del polígon respecte del polígon és una raó doble de la del costat respecte del costat [ja que són semblants], mentre que la de Γ respecte de Δ és la raó doble de la de Γ respecte d'H. I, per tant, el polígon circumscrit respecte de l'inscrit té una raó més petita que Γ respecte de Δ. Per tant, el circumscrit respecte de l'inscrit té, de molt, una raó més petita que E respecte de Z.



⌈ϛʹ⌉

Ὁμοίως δὴ δείξομεν, ὅτι δύο μεγεθῶν ἀνίσων δοθέντων καὶ τομέως δυνατόν ἐστιν περὶ τὸν τομέα πολύγωνον περιγράψαι καὶ ἄλλο ἐγγράψαι ὅμοιον αὐτῷ, ἵνα τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχῃ ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.

Φανερὸν δὲ καὶ τοῦτο, ὅτι, ἐὰν δοθῇ κύκλος ἢ τομεὺς καὶ χωρίον τι, δυνατόν ἐστιν ἐγγράφοντα εἰς τὸν κύκλον ἢ τὸν τομέα πολύγωνα ἰσόπλευρα καὶ ἔτι ἀεὶ εἰς τὰ περιλειπόμενα τμήματα λείπειν τινὰ τμήματα τοῦ κύκλου ἢ τομέως, ἅπερ ἔσται ἐλάσσονα τοῦ προκειμένου χωρίου· ταῦτα γὰρ ἐν τῇ Στοιχειώσει παραδέδοται.

Δεικτέον δέ, ὅτι καὶ κύκλου δοθέντος ἢ τομέως καὶ χωρίου δυνατόν ἐστι περιγράψαι πολύγωνον περὶ τὸν κύκλον ἢ τὸν τομέα, ὥστε τὰ περιλειπόμενα τῆς περιγραφῆς τμήματα ἐλάσσονα εἶναι τοῦ δοθέντος χωρίου· ἔσται γὰρ ἐπὶ κύκλου δείξαντα μεταγαγεῖν τὸν ὅμοιον λόγον καὶ ἐπὶ τοῦ τομέως.

δεδόσθω κύκλος ὁ Α καὶ χωρίον τι τὸ Β. δυνατὸν δὴ περιγράψαι περὶ τὸν κύκλον πολύγωνον, ὥστε τὰ ἀπολειφθέντα τμήματα μεταξὺ τοῦ κύκλου καὶ τοῦ πολυγώνου ἐλάσσονα εἶναι τοῦ Β χωρίου.

καὶ γὰρ ὄντων δύο μεγεθῶν ἀνίσων, μείζονος μὲν συναμφοτέρου τοῦ τε χωρίου καὶ τοῦ κύκλου, ἐλάσσονος δὲ τοῦ κύκλου, περιγεγράφθω περὶ τὸν κύκλον πολύγωνον καὶ ἄλλο ἐγγεγράφθω, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχειν ἢ τὸ εἰρημένον μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον. τοῦτο δὴ τὸ περιγραφόμενον πολύγωνόν ἐστιν, οὗ τὰ περιλείμματα ἔσται ἐλάσσονα τοῦ προτεθέντος χωρίου τοῦ Β. εἰ γὰρ τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχει ἢ τὸ συναμφότερον ὅ τε κύκλος καὶ τὸ Β χωρίον πρὸς αὐτὸν τὸν κύκλον, τοῦ δὲ ἐγγραφομένου μείζων ὁ κύκλος, πολλῷ μᾶλλον τὸ περιγραφὲν πρὸς τὸν κύκλον ἐλάσσονα λόγον ἔχει ἢ τὸ συναμφότερον ὅ τε κύκλος καὶ τὸ Β χωρίον πρὸς αὐτὸν τὸν κύκλον· καὶ διελόντι ἄρα τὰ ἀπολείμματα τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὸν κύκλον ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ Β χωρίον πρὸς τὸν κύκλον· ἐλάσσονα ἄρα τὰ ἀπολείμματα τοῦ περιγεγραμμένου πολυγώνου τοῦ Β χωρίου.

ἢ οὕτως· ἐπεὶ τὸ περιγραφὲν πρὸς τὸν κύκλον ἐλάσσονα λόγον ἔχει ἢ τὸ συναμφότερον ὅ τε κύκλος καὶ τὸ Β χωρίον πρὸς τὸν κύκλον, διὰ τοῦτο δὴ ἔλασσον ἔσται τὸ περιγραφὲν συναμφοτέρου. ὥστε καὶ ὅλα τὰ περιλείμματα ἐλάσσονα ἔσται τοῦ χωρίου

⌈6⌉

D'una manera semblant, doncs, provarem que, donades dues magnituds desiguals i un sector, és possible circumscriure un polígon al voltant del sector i inscriure-n'hi un altre de semblant a aquest, per tal que el circumscrit respecte de l'inscrit tingui una raó més petita que la magnitud més gran respecte de la més petita.

I també això és clar: que, sempre que sigui donat un cercle o un sector i una certa àrea, inscrivint al cercle o al sector polígons equilàters i, a més, <esdevenint-se això> repetidament en els segments que resten al voltant, és possible que restin certs segments del cercle o del sector que seran precisament més petits que l'àrea que ha estat proposada, ja que això s'ha transmès als Elements.

S'ha de provar que, donat un cercle o un sector i una àrea, és possible circumscriure un polígon al voltant del cercle o del sector, de manera que els segments que resten al voltant de la circumscripció siguin més petits que l'àrea donada. De fet, serà després de provar-ho sobre un cercle que traduirem el mateix raonament també sobre el sector.

Estigui donat un cercle A, i una certa àrea B. És possible, doncs, circumscriure un polígon al voltant del cercle, de manera que els segments que resten fora entre el cercle i el polígon siguin més petits que l'àrea B.

I, en efecte, havent-hi dues magnituds desiguals (més gran tant l'àrea com el cercle, conjuntament, mentre que més petit el cercle), estigui circumscrit un polígon al voltant del cercle i n'hi estigui inscrit un altre, de manera que el circumscrit respecte de l'inscrit tingui una raó més petita que l'esmentada magnitud més gran respecte de la més petita. Aqueix és, doncs, el polígon circumscrit, les restes circumdants del qual seran més petites que l'àrea proposada B, ja que si el circumscrit respecte de l'inscrit té una raó més petita que el cercle i l'àrea B, conjuntament, respecte del mateix cercle, però el cercle és més gran que l'inscrit, el circumscrit respecte del cercle té, de molt, una raó més petita que el cercle i l'àrea B, conjuntament, respecte del mateix cercle. I, per divisió, per tant, les restes externes del polígon circumscrit respecte del cercle té una raó més petita que l'àrea B respecte del cercle. Per tant, les restes externes del polígon circumscrit són més petites que l'àrea B.

O així: atès que el circumscrit respecte del cercle té una raó més petita que el cercle i l'àrea B, conjuntament, respecte del cercle, per això, el circumscrit serà, doncs, més petit que aquests, conjuntament. De manera que la totalitat de les τοῦ Β.

ὁμοίως δὲ καὶ ἐπὶ τοῦ τομέως.



⌈ζ′⌉

Ἐὰν ἐν ἰσοσκελεῖ κώνῳ πυραμὶς ἐγγραφῇ ἰσόπλευρον ἔχουσα βάσιν, ἡ ἐπιφάνεια αὐτῆς χωρὶς τῆς βάσεως ἴση ἐστὶ τριγώνῳ βάσιν μὲν ἔχοντι ἴσην τῇ περιμέτρῳ τῆς βάσεως, ὕψος δὲ τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ μίαν πλευρὰν τῆς βάσεως κάθετον ἀγομένην.

ἔστω κῶνος ἰσοσκελής, οὗ βάσις ὁ ΑΒΓ κύκλος, καὶ εἰς αὐτὸν ἐγγεγράφθω πυραμὶς ἰσόπλευρον ἔχουσα βάσιν τὸ ΑΒΓ· λέγω, ὅτι ἡ ἐπιφάνεια αὐτῆς χωρὶς τῆς βάσεως ἴση ἐστὶ τῷ εἰρημένῳ τριγώνῳ.



restes circumdants també serà més petita que l'àrea B.

I, també d'una manera semblant, sobre el sector.



⌈7⌉

Sempre que en un con isòsceles hi sigui inscrita una piràmide que tingui base equilàtera, la seva superfície, llevat de la base, serà igual a un triangle que té base igual al perímetre de la base mentre que altura una recta conduïda perpendicular des del vèrtex fins a un costat de la base.

Heus aquí un con isòsceles base del qual és el cercle ΑΒΓ. Hi estigui inscrita una piràmide que tingui base equilàtera ΑΒΓ. Jo dic que la seva superfície, llevat de la base, és igual al triangle esmentat.



ἐπεὶ γὰρ ἰσοσκελὴς ὁ κῶνος, καὶ ἰσόπλευρος ἡ βάσις τῆς πυραμίδος, τὰ ὕψη τῶν περιεχόντων τριγώνων τὴν πυραμίδα ἴσα ἐστὶν ἀλλήλοις. καὶ βάσιν μὲν ἔχει τὰ τρίγωνα τὰς ΑΒ, ΒΓ, ΓΑ, ὕψος δὲ τὸ εἰρημένον· ὥστε τὰ τρίγωνα ἴσα ἐστὶ τριγώνῳ βάσιν μὲν ἔχοντι τὴν ἴσην ταῖς ΑΒ, ΒΓ, ΓΑ, ὕψος δὲ τὴν εἰρημένην εὐθεῖαν [τουτέστιν ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τοῦ ΑΒΓ τριγώνου].

[σαφέστερον ἄλλως ἡ δεῖξις.]

[ἔστω κῶνος ἰσοσκελής, οὗ βάσις μὲν ὁ ΑΒΓ κύκλος, κορυφὴ δὲ τὸ Δ σημεῖον, καὶ ἐγγεγράφθω εἰς τὸν κῶνον πυραμὶς βάσιν [μὲν] ἔχουσα ἰσόπλευρον τρίγωνον τὸ ΑΒΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΑ, ΔΓ, ΔΒ·] [λέγω, ὅτι τὰ ΑΔΒ, ΑΔΓ, ΒΔΓ τρίγωνα ἴσα ἐστὶ τριγώνῳ, οὗ ἡ μὲν βάσις ἴση ἐστὶ τῇ περιμέτρῳ τοῦ ΑΒΓ τριγώνου, ἡ δὲ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἴση τῇ καθέτῳ τῇ ἀπὸ τοῦ Δ ἐπὶ τὴν ΒΓ ἀγομένῃ.]

[ἤχθωσαν γὰρ κάθετοι αἱ ΔΚ, ΔΛ, ΔΜ·] [αὗται ἄρα ἴσαι ἀλλήλαις εἰσίν. καὶ κείσθω τρίγωνον τὸ ΕΖΗ ἔχον τὴν μὲν ΕΖ βάσιν τῇ περιμέτρῳ τοῦ ΑΒΓ τριγώνου ἴσην, τὴν δὲ ΗΘ κάθετον τῇ ΔΛ ἴσην.] [ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΒΓ, ΔΛ διπλάσιόν ἐστιν τοῦ ΔΒΓ τριγώνου, ἔστιν δὲ καὶ τὸ μὲν ὑπὸ τῶν ΑΒ, ΔΚ διπλάσιον τοῦ ΑΒΔ τριγώνου, τὸ δὲ ὑπὸ ΑΓ, ΔΜ διπλάσιον τοῦ ΑΔΓ τριγώνου, τὸ ἄρα ὑπὸ τῆς περιμέτρου τοῦ ΑΒΓ τριγώνου,] [τουτέστι τῆς ΕΖ, καὶ τῆς ΔΛ, τουτέστι τῆς ΗΘ, διπλάσιόν ἐστι τῶν ΑΔΒ, ΒΔΓ, ΑΔΓ τριγώνων. ἔστι δὲ καὶ τὸ ὑπὸ ΕΖ, ΗΘ διπλάσιον τοῦ ΕΖΗ τριγώνου·] [ἴσον ἄρα τὸ ΕΖΗ τρίγωνον τοῖς ΑΔΒ, ΒΔΓ, ΑΔΓ τριγώνοις].



En efecte, atès que el con és isòsceles i la base de la piràmide és equilàtera, les altures dels triangles que comprenen la piràmide són iguals, les unes a les altres. I els triangles tenen base AB, ΒΓ, ΓΑ, mentre que altura l'esmentada, de manera que els triangles són iguals a un triangle que té base la recta igual a AB, ΒΓ, ΓΑ mentre que altura la recta esmentada [és a dir, la superfície de la piràmide, llevat del triangle ΑΒΓ].

[la prova d'una altra manera més clara:

Heus aquí un con isòsceles, base del qual és un cercle ΑΒΓ, mentre que vèrtex, un punt Δ. Estigui inscrita al con una piràmide que tingui base un triangle equilàter ΑΒΓ, i estiguin unides ΔΑ, ΔΓ, ΔΒ. Jo dic que els triangles ΑΔΒ, ΑΔΓ, ΒΔΓ són iguals a un triangle base del qual és igual al perímetre del triangle ΑΒΓ, mentre que la perpendicular des del vèrtex fins a la base és igual a una recta conduïda perpendicular des de Δ fins a ΒΓ.

En efecte, estiguin conduïdes unes perpendiculars ΔΚ, ΔΛ, ΔΜ. Per tant, aquestes són iguals les unes a les altres. Estigui posat un triangle ΕΖΗ que tingui la base ΕΖ igual al perímetre del triangle ΑΒΓ, mentre que la perpendicular ΗΘ, igual a ΔΛ. Així, doncs, atès que el rectangle comprès per ΒΓ, ΔΛ és el doble del triangle ΔΒΓ, i és, també, el comprès per ΑΒ, ΔΚ el doble del triangle ΑΒΔ, mentre que el comprès per ΑΓ, ΔΜ és el doble del triangle ΑΔΓ, per tant, el comprès pel perímetre del triangle ΑΒΓ (és a dir, ΕΖ), i per ΔΛ (és a dir, ΗΘ), és el doble dels triangles ΑΔΒ, ΒΔΓ, ΑΔΓ. Però també el comprès per ΕΖ, ΗΘ és el doble del triangle ΕΖΗ. Per tant, el triangle ΕΖΗ és igual als triangles ΑΔΒ, ΒΔΓ, ΑΔΓ.]



⌈η′⌉

Ἐὰν περὶ κῶνον ἰσοσκελῆ πυραμὶς περιγραφῇ, ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως ἴση ἐστὶν τριγώνῳ βάσιν μὲν ἔχοντι τὴν ἴσην τῇ περιμέτρῳ τῆς βάσεως, ὕψος δὲ τὴν πλευρὰν τοῦ κώνου.

ἔστω κῶνος, οὗ βάσις ὁ ΑΒΓ κύκλος, καὶ πυραμὶς περιγεγράφθω, ὥστε τὴν βάσιν αὐτῆς, τουτέστι τὸ ΔΕΖ πολύγωνον, περιγεγραμμένον περὶ τὸν ΑΒΓ κύκλον εἶναι. λέγω, ὅτι ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως ἴση ἐστὶ τῷ εἰρημένῳ τριγώνῳ.

ἐπεὶ γὰρ [ὁ ἄξων τοῦ κώνου ὀρθός ἐστι πρὸς τὴν βάσιν, τουτέστι πρὸς τὸν ΑΒΓ κύκλον, καὶ] αἱ ἀπὸ τοῦ κέντρου τοῦ κύκλου ἐπὶ τὰς ἁφὰς ἐπιζευγνύμεναι εὐθεῖαι κάθετοί εἰσιν ἐπὶ τὰς ἐφαπτομένας, ἔσονται ἄρα καὶ αἱ ἀπὸ τῆς κορυφῆς τοῦ κώνου ἐπὶ τὰς ἁφὰς ἐπιζευγνύμεναι κάθετοι ἐπὶ τὰς ΔΕ, ΖΕ, ΖΔ. αἱ ΗΑ, ΗΒ, ΗΓ ἄρα αἱ εἰρημέναι κάθετοι ἴσαι εἰσὶν ἀλλήλαις. πλευραὶ γάρ εἰσιν τοῦ κώνου.

κείσθω δὴ τὸ τρίγωνον τὸ ΘΚΛ ἴσην ἔχον τὴν μὲν ΘΚ τῇ περιμέτρῳ τοῦ ΔΕΖ τριγώνου, τὴν δὲ ΛΜ κάθετον ἴσην τῇ ΗΑ. ἐπεὶ οὖν τὸ μὲν ὑπὸ ΔΕ, ΑΗ διπλάσιόν ἐστι τοῦ ΕΔΗ τριγώνου, τὸ δὲ ὑπὸ ΔΖ, ΗΒ διπλάσιόν ἐστι τοῦ ΔΖΗ τριγώνου, τὸ δὲ ὑπὸ ΕΖ, ΓΗ διπλάσιόν ἐστιν τοῦ ΕΗΖ τριγώνου, ἔστιν ἄρα τὸ ὑπὸ τῆς ΘΚ καὶ τῆς ΑΗ, τουτέστι τῆς ΜΛ, διπλάσιον τῶν ΕΔΗ, ΖΔΗ, ΕΗΖ τριγώνων. ἔστιν δὲ καὶ τὸ ὑπὸ τῶν ΘΚ, ΛΜ διπλάσιον τοῦ ΛΚΘ τριγώνου. διὰ τοῦτο δὴ ἴση ἐστὶν ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως τριγώνῳ βάσιν μὲν ἔχοντι ἴσην τῇ περιμέτρῳ τοῦ ΔΕΖ, ὕψος δὲ τὴν πλευρὰν τοῦ κώνου.



[8]

Sempre que al voltant d'un con isòsceles hi sigui circumscrita una piràmide, la superfície de la piràmide, llevat de la base, serà igual a un triangle que té base la recta igual al perímetre de la base mentre que altura el costat del con.

Heus aquí un con base del qual és el cercle ΑΒΓ. Hi estigui circumscrita una piràmide, de manera que la seva base (és a dir, el polígon ΔΕΖ) sigui circumscrita al voltant del cercle ΑΒΓ. Jo dic que la superfície de la piràmide, llevat de la base, és igual al triangle esmentat.

En efecte, atès que [l'eix del con és ortogonal respecte de la base, és a dir, respecte del cercle ΑΒΓ, i] unes rectes unides des del centre del cercle fins als punts de contacte són perpendiculars sobre les rectes que els toquen, per tant, també les unides des del vèrtex del con fins als punts de contacte seran perpendiculars sobre ΔΕ, ΖΕ, ΖΔ. Per tant, les perpendiculars esmentades, ΗΑ, ΗΒ, ΗΓ, són iguals les unes a les altres, ja que són costats del con.

Estigui, doncs, posat el triangle ΘΚΛ que té ΘΚ igual al perímetre del triangle ΔΕΖ, mentre que la perpendicular ΛΜ, igual a ΗΑ. Així, doncs, atès que el rectangle ΔΕ, ΑΗ és el doble del triangle ΕΔΗ, mentre que el rectangle ΔΖ, ΗΒ és el doble del triangle ΔΖΗ, però el rectangle ΕΖ, ΓΗ és el doble del triangle ΕΗΖ, per tant, el comprès per ΘΚ i per ΑΗ (és a dir, ΜΛ) és el doble dels triangles ΕΔΗ, ΖΔΗ, ΕΗΖ. Però també el rectangle comprès per ΘΚ, ΛΜ és el doble del triangle ΛΚΘ. Per això, doncs, la superfície de la piràmide, llevat de la base, és igual a un triangle que té base igual al perímetre de ΔΕΖ mentre que altura el costat del con.



⌈ϑʹ⌉

Ἐὰν κώνου τινὸς ἰσοσκελοῦς εἰς τὸν κύκλον, ὅς ἐστι βάσις τοῦ κώνου, εὐθεῖα γραμμὴ ἐμπέσῃ, ἀπὸ δὲ τῶν περάτων αὐτῆς εὐθεῖαι γραμμαὶ ἀχθῶσιν ἐπὶ τὴν κορυφὴν τοῦ κώνου, τὸ περιληφθὲν τρίγωνον ὑπό τε τῆς ἐμπεσούσης καὶ τῶν ἐπιζευχθεισῶν ἐπὶ τὴν κορυφὴν ἔλασσον ἔσται τῆς ἐπιφανείας τοῦ κώνου τῆς μεταξὺ τῶν ἐπὶ τὴν κορυφὴν ἐπιζευχθεισῶν.

ἔστω κώνου ἰσοσκελοῦς βάσις ὁ ΑΒΓ κύκλος, κορυφὴ δὲ τὸ Δ, καὶ διήχθω τις εἰς αὐτὸν εὐθεῖα ἡ ΑΓ, καὶ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὰ Α, Γ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΓ· λέγω, ὅτι τὸ ΑΔΓ τρίγωνον ἔλασσόν ἐστιν τῆς ἐπιφανείας τῆς κωνικῆς τῆς μεταξὺ τῶν ΑΔΓ.

τετμήσθω ἡ ΑΒΓ περιφέρεια δίχα κατὰ τὸ Β, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΓΒ, ΔΒ· ἔσται δὴ τὰ ΑΒΔ, ΒΓΔ τρίγωνα μείζονα τοῦ ΑΔΓ τριγώνου. ᾧ δὴ ὑπερέχει τὰ εἰρημένα τρίγωνα τοῦ ΑΔΓ τριγώνου, ἔστω τὸ Θ. τὸ δὴ Θ ἤτοι τῶν ΑΒ, ΒΓ τμημάτων ἔλασσόν ἐστιν ἢ οὔ.

ἔστω μὴ ἔλασσον πρότερον. ἐπεὶ οὖν δύο εἰσὶν ἐπιφάνειαι ἥ τε κωνικὴ ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τοῦ ΑΕΒ τμήματος καὶ ἡ τοῦ ΑΔΒ τριγώνου τὸ αὐτὸ πέρας ἔχουσαι τὴν περίμετρον τοῦ τριγώνου τοῦ ΑΔΒ, μείζων ἔσται ἡ περιλαμβάνουσα τῆς περιλαμβανομένης. μείζων ἄρα ἐστὶν ἡ κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τοῦ ΑΕΒ τμήματος τοῦ ΑΒΔ τριγώνου. ὁμοίως δὲ καὶ ἡ μεταξὺ τῶν ΒΔΓ μετὰ τοῦ ΓΖΒ τμήματος μείζων ἐστὶν τοῦ ΒΔΓ τριγώνου· ὅλη ἄρα ἡ κωνικὴ ἐπιφάνεια μετὰ τοῦ Θ χωρίου μείζων ἐστὶ τῶν εἰρημένων τριγώνων. τὰ δὲ εἰρημένα τρίγωνα ἴσα ἐστὶν τῷ τε ΑΔΓ τριγώνῳ καὶ τῷ Θ χωρίῳ. κοινὸν ἀφῃρήσθω τὸ Θ χωρίον· λοιπὴ ἄρα ἡ κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΓ μείζων ἐστὶν τοῦ ΑΔΓ τριγώνου.

ἔστω δὴ τὸ Θ ἔλασσον τῶν ΑΒ, ΒΓ τμημάτων. τέμνοντες δὴ τὰς ΑΒ, ΒΓ περιφερείας δίχα καὶ τὰς ἡμισείας αὐτῶν δίχα λείψομεν τμήματα ἐλάσσονα ὄντα τοῦ Θ χωρίου. λελείφθω τὰ ἐπὶ τῶν ΑΕ, ΕΒ, ΒΖ, ΖΓ εὐθειῶν, καὶ ἐπεζεύχθωσαν αἱ ΔΕ, ΔΖ. πάλιν τοίνυν κατὰ τὰ αὐτὰ ἡ μὲν ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν ΑΔΕ μετὰ τοῦ ἐπὶ τῆς ΑΕ τμήματος μείζων ἐστὶν τοῦ ΑΔΕ τριγώνου, ἡ δὲ μεταξὺ τῶν ΕΔΒ μετὰ τοῦ ἐπὶ τῆς ΕΒ τμήματος μείζων ἐστὶν τοῦ ΕΔΒ τριγώνου. ἡ ἄρα ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τῶν ἐπὶ τῶν ΑΕ, ΕΒ τμημάτων μείζων ἐστὶν τῶν ΑΔΕ, ΕΒΔ τριγώνων. ἐπεὶ δὲ τὰ ΑΕΔ, ΔΕΒ τρίγωνα μείζονά ἐστιν τοῦ ΑΒΔ τριγώνου, [καθὼς δέδεικται], πολλῷ ἄρα ἡ ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τῶν ἐπὶ τῶν ΑΕ, ΕΒ

⌈9⌉

Sempre que, d'un cert con isòsceles, una línia recta caigui dintre del cercle que és base del con, i des dels seus límits siguin conduides unes línies rectes fins al vèrtex del con, el triangle contingut tant per la recta que cau dintre com per les rectes unides fins al vèrtex haurà de ser més petit que la superfície del con entre les rectes unides fins al vèrtex.

Heus aquí la base d'un con isòsceles, el cercle ΑΒΓ, i el vèrtex Δ. Estigui travessada amb una certa recta ΑΓ, i des del vèrtex fins a Α, Γ estiguin unides ΑΔ, ΔΓ. Jo dic que el triangle ΑΔΓ és més petit que la superfície cònica entre les rectes ΑΔΓ.

Estigui tallada en dos la circumferència ΑΒΓ per Β, i estiguin unides ΑΒ, ΓΒ, ΔΒ. Els triangles ΑΒΔ, ΒΓΔ seran, doncs, més grans que el triangle ΑΔΓ. El que superen els triangles esmentats al triangle ΑΔΓ, heu-la aquí, doncs, Θ. Θ, doncs, o bé, és més petita que els segments ΑΒ, ΒΓ, o bé, no.

Heus aquí, en primer lloc, que no és més petita. Així, doncs, atès que hi ha dues superfícies, tant la cònica entre les rectes ΑΔΒ juntament amb el segment ΑΕΒ, com la del triangle ΑΔΒ, que tenen el mateix límit (el perímetre del triangle ΑΔΒ), serà més gran la que conté que la continguda. Per tant, és més gran la superfície cònica entre les rectes ΑΔΒ, juntament amb el segment ΑΕΒ, que el triangle ΑΒΔ. Però, d'una manera semblant, la superfície entre les rectes ΒΔΓ, juntament amb el segment ΓΖΒ, també és més gran que el triangle ΒΔΓ. Per tant, la totalitat de la superfície cònica, juntament amb l'àrea Θ, és més gran que els triangles esmentats. Però els triangles esmentats són iguals al triangle ΑΔΓ i a l'àrea Θ. Estigui extreta una àrea comuna Θ. Per tant, la superfície cònica restant entre les rectes ΑΔΓ, és més gran que el triangle ΑΔΓ.

Heus aquí, doncs, que Θ és més petita que els segments ΑΒ, ΒΓ. Tallant, doncs, en dos les circumferències ΑΒ, ΒΓ, i les seves meitats també en dos, restaran uns segments que seran més petits que l'àrea Θ. N'hagin restat els segments sobre les rectes ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, i estiguin unides ΔΕ, ΔΖ. Llavors, al seu torn, exactament pels mateixos <arguments>, la superfície del con entre les rectes ΑΔΕ, juntament amb el segment sobre ΑΕ, és més gran que el triangle ΑΔΕ, mentre que la superfície entre les rectes ΕΔΒ, juntament amb el segment sobre ΕΒ, és més gran que el triangle ΕΔΒ. Per tant, la superfície entre les rectes ΑΔΒ, juntament amb els segments sobre ΑΕ, ΕΒ, és més gran que els triangles ΑΔΕ, ΕΒΔ.

τμημάτων μείζων ἐστὶ τοῦ ΑΔΒ τριγώνου. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΒΔΓ μετὰ τῶν ἐπὶ τῶν ΒΖ, ΖΓ τμημάτων μείζων ἐστὶν τοῦ ΒΔΓ τριγώνου· ὅλη ἄρα ἡ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΓ μετὰ τῶν εἰρημένων τμημάτων μείζων ἐστὶ τῶν ΑΒΔ, ΔΒΓ, τριγώνων. ταῦτα δέ ἐστιν ἴσα τῷ ΑΔΓ τριγώνῳ καὶ τῷ Θ χωρίῳ· ὧν τὰ εἰρημένα τμήματα ἐλάσσονα τοῦ Θ χωρίου. λοιπὴ ἄρα ἡ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΓ μείζων ἐστὶν τοῦ ΑΔΓ τριγώνου.



⌈ι′⌉

Ἐὰν ἐπιψαύουσαι ἀχθῶσιν τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ κώνου, ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι τῷ κύκλῳ καὶ συμπίπτουσαι ἀλλήλαις, ἀπὸ δὲ τῶν ἁφῶν καὶ τῆς συμπτώσεως ἐπὶ τὴν κορυφὴν τοῦ κώνου εὐθεῖαι ἀχθῶσιν, τὰ περιεχόμενα τρίγωνα ὑπὸ τῶν ἐπιψαυουσῶν καὶ τῶν ἐπὶ τὴν κορυφὴν τοῦ κώνου ἐπιζευχθεισῶν εὐθειῶν μείζονά ἐστιν τῆς τοῦ κώνου ἐπιφανείας τῆς ἀπολαμβανομένης ὑπ᾽ αὐτῶν.

ἔστω κῶνος, οὗ βάσις μὲν ὁ ΑΒΓ κύκλος, κορυφὴ δὲ τὸ Ε σημεῖον, καὶ τοῦ ΑΒΓ κύκλου ἐφαπτόμεναι ἤχθωσαν ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι αἱ ΑΔ, ΓΔ, καὶ ἀπὸ τοῦ Ε σημείου, ὅ ἐστιν κορυφὴ τοῦ κώνου, ἐπὶ τὰ Α, Δ, Γ ἐπεζεύχθωσαν αἱ ΕΑ, ΕΔ, ΕΓ· λέγω, ὅτι τὰ ΑΔΕ, ΔΕΓ τρίγωνα μείζονά ἐστι τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν ΑΕ, ΓΕ εὐθειῶν καὶ τῆς ΑΒΓ περιφερείας.

Però atès que els triangles AEΔ, ΔEB són més grans que el triangle ABΔ [, com ha estat provat,] per tant, la superfície del con entre les rectes AΔB, juntament amb els segments sobre AE, EB és, de molt, més gran que el triangle AΔB. I pels mateixos <arguments>, doncs, la superfície entre les rectes BΔΓ, juntament amb els segments sobre BZ, ZΓ, també és més gran que el triangle BΔΓ. Per tant, la totalitat de la superfície entre les rectes AΔΓ, juntament amb els segments esmentats, és més gran que els triangles ABΔ, ΔBΓ. Però això és igual al triangle AΔΓ i a l'àrea Θ, i els segments esmentats són més petits que l'àrea Θ. Per tant, la superfície restant entre les rectes AΔΓ és més gran que el triangle AΔΓ.



⌈10⌉

Sempe que del cercle que és base del con siguin conduides unes tangents que són en el mateix pla que el cercle i que hi concorren, l'una amb l'altra, i des dels punts de contacte i de concurrència siguin conduides unes rectes fins al vèrtex del con, els triangles compresos per les tangents i per les rectes unides fins al vèrtex del con són més grans que la superfície del con separada per elles.

Heus aquí un con base del qual és un cercle ABΓ, mentre que vèrtex, un punt E. Estiguin conduides unes rectes que toquen el cercle ABΓ que són en el mateix pla, AΔ, ΓΔ, i des del punt E (que és el vèrtex del con) fins a A, Δ, Γ estiguin unides les rectes EA, EΔ, EΓ. Jo dic que els triangles AΔE, ΔEΓ són més grans que la superfície cònica entre les rectes AE, ΓE i la circumferència ABΓ.

ἤχθω γὰρ ἡ ΗΒΖ ἐφαπτομένη τοῦ κύκλου καὶ παράλληλος οὖσα τῇ ΑΓ δίχα τμηθείσης τῆς ΑΒΓ περιφερείας κατὰ τὸ Β, καὶ ἀπὸ τῶν Η, Ζ ἐπὶ τὸ Ε ἐπεζεύχθωσαν αἱ ΗΕ, ΖΕ. καὶ ἐπεὶ μείζους εἰσὶν αἱ ΗΔ, ΔΖ τῆς ΗΖ, κοιναὶ προσκείσθωσαν αἱ ΗΑ, ΖΓ· ὅλαι ἄρα αἱ ΑΔ, ΔΓ μείζους εἰσὶν τῶν ΑΗ, ΗΖ, ΖΓ. καὶ ἐπεὶ αἱ ΑΕ, ΕΒ, ΕΓ πλευραί εἰσιν τοῦ κώνου, ἴσαι εἰσὶν διὰ τὸ ἰσοσκελῆ εἶναι τὸν κῶνον· ὁμοίως δὲ καὶ κάθετοί εἰσιν [ὡς ἐδείχθη ἐν τῷ λήμματι] [τὰ δὲ ὑπὸ τῶν καθέτων καὶ τῶν βάσεων διπλασίονα ἐστιν τῶν τριγώνων]· μείζονα ἄρα ἐστὶ τὰ ΑΕΔ, ΔΕΓ τρίγωνα τῶν ΑΗΕ, ΗΕΖ, ΖΕΓ τριγώνων [εἰσὶν γὰρ αἱ μὲν ΑΗ, ΗΖ, ΖΓ ἐλάσσους τῶν ΓΔ, ΔΑ, τὰ δὲ ὕψη αὐτῶν ἴσα] [φανερὸν γάρ, ὅτι ἡ ἀπὸ τῆς κορυφῆς τοῦ ὀρθοῦ κώνου ἐπὶ τὴν ἐπαφὴν τῆς βάσεως ἐπιζευγνυμένη κάθετός ἐστιν ἐπὶ τὴν ἐφαπτομένην]. ᾧ δὴ μείζονά ἐστιν τὰ ΑΕΔ, ΔΓΕ τρίγωνα τῶν ΑΕΗ, ΗΕΖ, ΖΕΓ τριγώνων, ἔστω τὸ Θ χωρίον. τὸ δὴ Θ χωρίον ἤτοι ἔλαττόν ἐστιν τῶν ΑΗΒΚ, ΒΖΓΛ ἀποτμημάτων ἢ οὐκ ἔλαττον.



ἔστω πρότερον μὴ ἔλαττον. ἐπεὶ οὖν εἰσιν ἐπιφάνειαι σύνθετοι, ἥ τε τῆς πυραμίδος τῆς ἐπὶ βάσεως τοῦ ΗΑΓΖ τραπεζίου κορυφὴν ἔχουσα τὸ Ε καὶ ἡ κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΕΓ μετὰ τοῦ ΑΒΓ τμήματος, καὶ πέρας ἔχουσι τὴν αὐτὴν περίμετρον

En efecte, estigui conduïda una recta que toca el cercle, HBZ, també paral·lela a ΑΓ, tallant en dos la circumferència ΑΒΓ per B, i des d'H, Z fins a E estiguin unides les rectes HE, ZE. I, atès que HΔ, ΔZ són més grans que HZ (hi estiguin juxtaposades unes rectes comunes HA, ZΓ), per tant, la totalitat de les rectes AΔ, ΔΓ és més gran que AH, HZ, ZΓ. I, atès que AE, EB, EΓ són costats del con, són iguals pel fet que el con és isòsceles. Però, d'una manera semblant, també són perpendiculars [com fou demostrat en el lema][però els rectangles compresos per les perpendiculars i per les bases són el duple dels triangles]. Per tant, els triangles AEΔ, ΔEΓ són més grans que els triangles AHE, HEZ, ZEΓ [ja que AH, HZ, ZΓ són més petits que ΓΔ, ΔA, mentre que les seves altures són iguals][ja que és clar que la recta unida des del vèrtex del con recte fins al punt d'adhesió de la base és perpendicular a la recta que el toca]. El que els triangles AEΔ, ΔΓE són més grans que els triangles AEH, HEZ, ZEΓ, heus-ho aquí, doncs, l'àrea Θ. L'àrea Θ, doncs, o bé és més petita que els retalls AHBK, BZΓΛ, o bé no és més petita.



Heus aquí, en primer lloc, que no és més petita. Així, doncs, atès que són superfícies compostes, tant la de la piràmide sobre una base del trapezi HAΓZ i que té vèrtex, E, com la superfície cònica entre les rectes AEΓ, juntament amb el τοῦ ΑΕΓ τριγώνου, δῆλον, ὡς ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τοῦ ΑΕΓ τριγώνου μείζων ἐστὶν τῆς κωνικῆς ἐπιφανείας μετὰ τοῦ τμήματος τοῦ ΑΒΓ. κοινὸν ἀφῃρήσθω τὸ ΑΒΓ τμῆμα· λοιπὰ ἄρα τὰ τρίγωνα τὰ ΑΗΕ, ΗΕΖ, ΖΕΓ μετὰ τῶν ΑΗΒΚ, ΒΖΓΛ περιλειμμάτων μείζονά ἐστιν τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν ΑΕ, ΕΓ. τῶν δὲ ΑΗΒΚ, ΒΖΓΛ περιλειμμάτων οὐκ ἔλασσόν ἐστιν τὸ Θ χωρίον· πολλῷ ἄρα τὰ ΑΗΕ, ΗΕΖ, ΖΕΓ τρίγωνα μετὰ τοῦ Θ μείζονα ἔσται τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν ΑΕΓ. ἀλλὰ τὰ ΑΗΕ, ΗΕΖ, ΓΕΖ τρίγωνα μετὰ τοῦ Θ ἐστιν τὰ ΑΕΔ, ΔΕΓ τρίγωνα· τὰ ἄρα ΑΕΔ, ΔΕΓ τρίγωνα μείζονα ἔσται τῆς εἰρημένης κωνικῆς ἐπιφανείας.

ἔστω δὴ τὸ Θ ἔλασσον τῶν περιλειμμάτων. ἀεὶ δὴ περιγράφοντες πολύγωνα περὶ τὰ τμήματα ὁμοίως δίχα τεμνομένων τῶν περιλειπομένων περιφερειῶν καὶ ἀγομένων ἐφαπτομένων λείψομέν τινα ἀπολείμματα, ἃ ἔσται ἐλάσσονα τοῦ Θ χωρίου. λελείφθω καὶ ἔστω τὰ ΑΜΚ, ΚΝΒ, ΒΞΛ, ΛΟΓ ἐλάσσονα ὄντα τοῦ Θ χωρίου, καὶ ἐπεζεύχθω ἐπὶ τὸ Ε. πάλιν δὴ φανερόν, ὅτι τὰ ΑΗΕ, ΗΕΖ, ΖΕΓ τρίγωνα τῶν ΑΕΜ, ΜΕΝ, ΝΕΞ, ΞΕΟ, ΟΕΓ τριγώνων ἔσται μείζονα [αἵ τε γὰρ βάσεις τῶν βάσεών εἰσι μείζους καὶ τὸ ὕψος ἴσον]. ἔτι δὲ πάλιν ὁμοίως μείζονα ἔχει ἐπιφάνειαν ἡ πυραμὶς ἡ βάσιν μὲν ἔχουσα τὸ ΑΜΝΞΟΓ πολύγωνον, κορυφὴν δὲ τὸ Ε, χωρὶς τοῦ ΑΕΓ τριγώνου τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν ΑΕΓ μετὰ τοῦ ΑΒΓ τμήματος. κοινὸν ἀφῃρήσθω τὸ ΑΒΓ τμῆμα· λοιπὰ ἄρα τὰ ΑΕΜ, ΜΕΝ, ΝΕΞ, ΞΕΟ, ΟΕΓ τρίγωνα μετὰ τῶν ΑΜΚ, ΚΝΒ, ΒΞΛ, ΛΟΓ περιλειμμάτων μείζονα ἔσται τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν ΑΕΓ. ἀλλὰ τῶν μὲν εἰρημένων περιλειμμάτων μεῖζόν ἐστιν τὸ Θ χωρίον, τῶν δὲ ΑΕΜ, ΜΕΝ, ΝΕΞ, ΞΕΟ, ΟΕΓ τριγώνων μείζονα ἐδείχθη τὰ ΑΕΗ, ΗΕΖ, ΖΕΓ τρίγωνα· πολλῷ ἄρα τὰ ΑΕΗ, ΗΕΖ, ΖΕΓ τρίγωνα μετὰ τοῦ Θ χωρίου, τουτέστι τὰ ΑΔΕ, ΔΕΓ τρίγωνα, μείζονά ἐστιν τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν ΑΕΓ εὐθειῶν.

⌈ια´⌉

Ἐὰν ἐν ἐπιφανείᾳ ὀρθοῦ κυλίνδρου δύο εὐθεῖαι ὦσιν, ἡ ἐπιφάνεια τοῦ κυλίνδρου ἡ μεταξὺ τῶν εὐθειῶν μείζων ἐστὶν τοῦ παραλληλογράμμου τοῦ περιεχομένου ὑπό τε τῶν ἐν τῇ ἐπιφανείᾳ τοῦ κυλίνδρου εὐθειῶν καὶ τῶν ἐπιζευγνυουσῶν τὰ πέρατα αὐτῶν.

ἔστω κύλινδρος ὀρθός, οὗ βάσις μὲν ὁ ΑΒ κύκλος, ἀπεναντίον δὲ ὁ ΓΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΒΔ· λέγω, ὅτι ἡ ἀποτεμνομένη κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν μείζων ἐστὶν τοῦ ΑΓΒΔ παραλληλογράμμου.

τετμήσθω γὰρ ἑκατέρα τῶν ΑΒ, ΓΔ δίχα κατὰ τὰ Ε, Ζ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ segment ΑΒΓ, i tenen límit el mateix perímetre del triangle ΑΕΓ, és clar que la superfície de la piràmide, llevat del triangle ΑΕΓ, és més gran que la superfície cònica, juntament amb el segment ΑΒΓ. Estigui extret un segment comú ΑΒΓ. Per tant, els triangles restants ΑΗΕ, ΗΕΖ, ΖΕΓ, juntament amb les restes circumdants ΑΗΒΚ, ΒΖΓΛ, és més gran que la superfície cònica entre les rectes ΑΕ, ΕΓ. Però l'àrea Θ no és més petita que les restes circumdants ΑΗΒΚ, ΒΖΓΛ. Per tant, els triangles ΑΗΕ, ΗΕΖ, ΖΕΓ, juntament amb Θ, seran, de molt, més grans que la superfície cònica entre les rectes ΑΕΓ. Tanmateix, els triangles ΑΗΕ, ΗΕΖ, ΓΕΖ, juntament amb Θ, són els triangles ΑΕΔ, ΔΕΓ. Per tant, els triangles ΑΕΔ, ΔΕΓ seran més grans que la superfície cònica esmentada.

Heus aquí, doncs, que Θ és més petita que les restes circumdants. Circumscrivint, doncs, repetidament, polígons al voltant dels segments d'una manera semblant, tot tallant en dos les circumferències que resten al voltant i conduint unes rectes que les toquen deixarem certes restes externes que seran més petites que l'àrea Θ. N'hagin restat i heu-les aquí, ΑΜΚ, ΚΝΒ, ΒΞΛ, ΛΟΓ, que són més petites que l'àrea Θ, i estiguin unides fins a Ε. Al seu torn, doncs, és clar que els triangles ΑΗΕ, ΗΕΖ, ΖΕΓ seran més grans que els triangles ΑΕΜ, ΜΕΝ, ΝΕΞ, ΞΕΟ, ΟΕΓ [ja que, tant les bases són més grans que les bases, com l'altura, igual]. Però, a més, al seu torn i d'una manera semblant, la piràmide, que té base el polígon ΑΜΝΞΟΓ, mentre que vèrtex Ε, llevat del triangle ΑΕΓ, té una superfície més gran que la superfície cònica entre les rectes ΑΕΓ, juntament amb el segment ΑΒΓ. Estigui extret un segment segment comú ΑΒΓ. Per tant, els triangles restants ΑΕΜ, ΜΕΝ, ΝΕΞ, ΞΕΟ, ΟΕΓ, juntament amb les restes circumdants ΑΜΚ, ΚΝΒ, ΒΞΛ, ΛΟΓ, seran més grans que la superfície cònica entre les rectes ΑΕΓ. Tanmateix, l'àrea Θ és més gran que les restes circumdants esmentades, mentre que els triangles ΑΕΗ, ΗΕΖ, ΖΕΓ fou provat que són més grans que els triangles ΑΕΜ, ΜΕΝ, ΝΕΞ, ΞΕΟ, ΟΕΓ. Per tant, els triangles ΑΕΗ, ΗΕΖ, ΖΕΓ, juntament amb l'àrea Θ, (és a dir, els triangles ΑΔΕ, ΔΕΓ), són, de molt, més grans que la superfície cònica entre les rectes ΑΕΓ.

⌈11⌉

Sempre que en la superfície d'un cilindre recte hi siguin dues rectes, la superfície del cilindre entre les rectes serà més gran que el paral·lelogram comprès tant per les rectes en la superfície del cilindre com per les que uneixen els seus límits.

Heus aquí un cilindre recte base del qual és el cercle ΑΒ mentre que l'oposada ΓΔ, i estiguin unides ΑΓ, ΒΔ. Jo dic que la superfície cònica retallada per les rectes ΑΓ, ΒΔ és més gran que el paral·lelogram ΑΓΒΔ.

En efecte, estigui tallat en dos cadascun dels segments ΑΒ, ΓΔ, per uns punts Ε, ΑΕ, ΕΒ, ΓΖ, ΖΔ. [καὶ ἐπεὶ αἱ ΑΕ, ΕΒ τῆς ΑΒ [διαμέτρου] μείζους εἰσίν, καί ἐστιν ἰσουψῆ τὰ παραλληλόγραμμα τὰ ἐπ᾽ αὐτῶν,] μείζονα οὖν ἐστιν τὰ παραλληλόγραμμα, ὧν [αἱ] βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, τοῦ ΑΒΔΓ παραλληλογράμμου. ᾧ ἄρα μείζονά ἐστιν, ἔστω τό Η χωρίον. τὸ δὴ Η χωρίον ἤτοι ἔλασσον τῶν ΑΕ, ΕΒ, ΓΖ, ΖΔ ἐπιπέδων ἐστὶ τμημάτων ἢ οὐκ ἔλασσον.



ἔστω πρότερον μὴ ἔλασσον. καὶ ἐπεὶ ἡ ἀποτεμνομένη κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν καὶ τὰ ΑΕΒ, ΓΖΔ [τρίγωνα] πέρας ἔχει τὸ τοῦ ΑΓΒΔ παραλληλογράμμου ἐπίπεδον, ἀλλὰ καὶ ἡ συγκειμένη ἐπιφάνεια ἐκ τῶν παραλληλογράμμων, ὧν βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, καὶ τὰ ΑΕΒ, ΓΖΔ [ἐπίπεδα] πέρας ἔχει τὸ τοῦ ΑΒΔΓ παραλληλογράμμου ἐπίπεδον, καὶ ἡ ἑτέρα τὴν ἑτέραν περιλαμβάνει, καὶ ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαί εἰσιν, μείζων οὖν ἐστιν ἡ ἀποτεμνομένη κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν καὶ τὰ ΑΕΒ, ΓΖΔ ἐπίπεδα τμήματα τῆς συγκειμένης ἐπιφανείας ἐκ τῶν παραλληλογράμμων, ὧν [αἱ] βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, καὶ τῶν ΑΕΒ, ΓΖΔ τριγώνων. κοινὰ ἀφῃρήσθω τὰ ΑΕΒ, ΓΖΔ τρίγωνα· λοιπὴ οὖν ἡ ἀποτεμνομένη κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν καὶ τὰ ΑΕ, ΕΒ, ΓΖ, ΖΔ ἐπίπεδα τμήματα μείζονά ἐστι τῆς συγκειμένης ἐπιφανείας ἐκ τῶν παραλληλογράμμων, ὧν βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. τὰ δὲ παραλληλόγραμμα, ὧν βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ

Z, i estiguin unides AE, EB, ΓZ, ZΔ. [I, atès que les rectes AE, EB són més grans que [el diàmetre] AB i els paral·lelograms sobre aquestes són de la mateixa altura,] així, doncs, els paral·lelograms, bases dels quals són AE, EB mentre que altura, la mateixa que el cilindre, són més grans que el paral·lelogram ABΔΓ.Heus aquí, per tant, l'àrea en què són més grans, H. L'àrea H, doncs, o bé és més petita que els segments plans AE, EB, ΓZ, ZΔ, o bé no és més petita.



Heus aquí, en primer lloc, que no és més petita. Atès que la superfície cilíndrica retallada per les rectes AΓ, BΔ, i els <segments> [triangles] AEB, ΓZΔ tenen límit el pla del paral·lelogram AΓBΔ, i tanmateix la superfície composta a partir dels paral·lelograms, bases dels quals són AE, EB, mentre que altura, la mateixa que el cilindre, i uns <triangles> [plans] AEB, ΓZΔ tenen límit el pla del paral·lelogram ABΔΓ, i que una conté l'altra i que ambdues són còncaves sobre un mateix costat, així, doncs, la superfície cilíndrica retallada per les rectes AΓ, BΔ i els segments plans AEB, ΓZΔ, és més gran que la superfície composta a partir dels paral·lelograms, bases dels quals són AE, EB mentre que altura, la mateixa que el cilindre, i els triangles AEB, ΓZΔ. Estiguin extrets uns triangles comuns AEB, ΓZΔ. Així, doncs, la superfície cilíndrica restant retallada per les rectes AΓ, BΔ, i els segments plans AE, EB, ΓZ, ZΔ, és més gran que la superfície composta a partir dels paral·lelograms, bases dels quals són AE, EB mentre que altura, la τῷ κυλίνδρῳ, ἴσα ἐστὶν τῷ ΑΓΒΔ παραλληλογράμμῳ καὶ τῷ Η χωρίῳ· λοιπὴ ἄρα ἡ ἀποτεμνομένη κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν μείζων ἐστὶ τοῦ ΑΓΒΔ παραλληλογράμμου.

ἀλλὰ δὴ ἔστω ἔλασσον τὸ Η χωρίον τῶν ΑΕ, ΕΒ, ΓΖ, ΖΔ ἐπιπέδων τμημάτων. καὶ τετμήσθω ἑκάστη τῶν ΑΕ, ΕΒ, ΓΖ, ΖΔ περιφερειῶν δίχα κατὰ τὰ Θ, Κ, Λ, Μ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ [τῶν δὲ ΑΕ, ΕΒ, ΓΖ, ΖΔ ἄρα ἐπιπέδων τμημάτων ἀφαιρεῖται οὐκ ἔλασσον ἢ τὸ ἡμισύ τὰ ΑΘΕ, ΕΚΒ, ΓΛΖ, ΖΜΔ τρίγωνα]. τούτου οὖν ἑξῆς γινομένου καταλειφθήσεταί τινα τμήματα, ἃ ἔσται ἐλάσσονα τοῦ Η χωρίου. καταλελείφθω καὶ ἔστω τὰ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ.

ὁμοίως δὴ δείξομεν, ὅτι τὰ παραλληλόγραμμα, ὧν βάσεις μὲν αἱ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, μείζονα ἔσται τῶν παραλληλογράμμων, ὧν βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. καὶ ἐπεὶ ἡ ἀποτεμνομένη κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν καὶ τὰ ΑΕΒ, ΓΖΔ ἐπίπεδα τμήματα πέρας ἔχει τὸ τοῦ ΑΓΒΔ παραλληλογράμμου ἐπίπεδον, ἀλλὰ καὶ ἡ συγκειμένη ἐπιφάνεια ἐκ τῶν παραλληλογράμμων, ὧν βάσεις μὲν αἱ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, καὶ τῶν ΑΘΕΚΒ, ΓΛΖΜΔ εὐθυγράμμων, κοινὰ ἀφῃρήσθω τὰ ΑΘΕΚΒ, ΓΛΖΜΔ εὐθύγραμμα· λοιπὴ ἄρα ἡ ἀποτεμνομένη κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν καὶ τὰ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ ἐπίπεδα τμήματα μείζονά ἐστιν τῆς συγκειμένης ἐπιφανείας ἐκ τῶν παραλληλογράμμων, ὧν βάσεις μὲν αἱ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. τὰ δὲ παραλληλόγραμμα, ὧν βάσεις μὲν αἱ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, μείζονά ἐστιν τῶν παραλληλογράμμων, ὧν βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. καὶ ἡ ἀποτεμνομένη ἄρα κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν καὶ τὰ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ ἐπίπεδα τμήματα μείζονά ἐστιν τῶν παραλληλογράμμων, ὧν βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. τὰ δὲ παραλληλόγραμμα, ὧν βάσεις μὲν αἱ ΑΕ, ΕΒ, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, ἴσα ἔστιν τῷ ΑΓΔΒ παραλληλογράμμῳ καὶ τῷ Η χωρίῳ. καὶ ἡ ἀποτεμνομένη ἄρα κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν καὶ τὰ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ ἐπίπεδα τμήματα μείζονά ἐστιν τοῦ ΑΓΒΔ παραλληλογράμμου καὶ τοῦ Η χωρίου. ἀφαιρεθέντα δὲ τὰ ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ τμήματα τοῦ Η χωρίου ἐλάσσονα λοιπὴ ἄρα ἡ ἀποτεμνομένη κυλινδρικὴ ἐπιφάνεια ὑπὸ τῶν ΑΓ, ΒΔ εὐθειῶν μείζων ἐστὶν τοῦ ΑΓΒΔ παραλληλογράμμου.

mateixa que el cilindre. Però els paral·lelograms, bases dels quals són AE, EB mentre que altura, la mateixa que el cilindre, són iguals al paral·lelogram ΑΓΒΔ i a l'àrea H. Per tant, la superfície cilíndrica restant retallada per les rectes ΑΓ, ΒΔ, és més gran que el paral·lelogram ΑΓΒΔ.

Tanmateix, doncs, heus aquí que l'àrea H és més petita que els segments plans AE, EB, ΓΖ, ΖΔ. Estiguin tallades en dos cada una de les circumferències AE, EB, ΓΖ, ΖΔ pels punts Θ, Κ, Λ, Μ, i estiguin unides ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ [i, per tant, els triangles ΑΘΕ, ΕΚΒ, ΓΛΖ, ΖΜΔ extreuen quelcom no més petit que la meitat dels segments plans AE, EB, ΓΖ, ΖΔ,]. Així, doncs, esdevenint-se això una i altra vegada, restaran a sota uns certs segments que seran més petits que l'àrea H. N'hagin restat a sota i heu-los aquí ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ.

D'una manera semblant, doncs, provarem que els paral·lelograms, bases dels quals són ΑΘ, ΘΕ, ΕΚ, ΚΒ mentre que altura, la mateixa que el cilindre, seran més grans que els paral·lelograms, bases dels quals són AE, EB mentre que altura, la mateixa que el cilindre. Atès que la superfície cilíndrica retallada per les rectes ΑΓ, ΒΔ i els segments plans ΑΕΒ, ΓΖΔ tenen límit el pla del paral·lelogram ΑΓΒΔ i, tanmateix, una superfície composta a partir dels paral·lelograms, bases dels quals són ΑΘ, ΘΕ, ΕΚ, ΚΒ mentre que altura, la mateixa que el cilindre, i a partir de les figures rectilínies ΑΘΕΚΒ, ΓΛΖΜΔ, <té límit el pla del paral·lelogram ΑΒΔΓ, per tant, la superfície cilíndrica retallada per les rectes ΑΓ, ΒΔ i els segments plans ΑΕΒ, ΓΖΔ és més gran que una superfície composta a partir dels paral·lelograms, base dels quals és ΑΘ, ΘΕ, ΕΚ, ΚΒ mentre que altura, la mateixa que la del cilindre, i a partir de les figures rectilínies ΑΘΕΚΒ, ΓΛΖΜΔ>. Estigui extreta una figura rectilínia comuna ΑΘΕΚΒ, ΓΛΖΜΔ.Per tant, la superfície cilíndrica restant retallada per les rectes ΑΓ, ΒΔ, i els segments plans ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ, són més grans que una superfície composta a partir dels paral·lelograms, bases dels quals són ΑΘ, ΘΕ, ΕΚ, ΚΒ mentre que altura, la mateixa que el cilindre. Però els paral·lelograms, bases dels quals són ΑΘ, ΘΕ, ΕΚ, ΚΒ mentre que altura, la mateixa que el cilindre, són més grans que els paral·lelograms, bases dels quals són AE, EB mentre que altura, la mateixa que el cilindre. Per tant, la superfície cilíndrica retallada per les rectes ΑΓ, ΒΔ, i els segments plans ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ, també són més grans que els paral·lelograms, bases dels quals són AE, EB mentre que altura, la mateixa que el cilindre. Però els paral·lelograms, bases dels quals són AE, EB mentre que altura, la mateixa que el cilindre, són iguals a un paral·lelogram ΑΓΔΒ i a una àrea H. Per tant, les superfícies cilíndriques retallades per les rectes ΑΓ, ΒΔ i els segments plans ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ també són més grans que el paral·lelogram ΑΓΒΔ i l'àrea H. Per tant, un cop extrets uns segments ΑΘ, ΘΕ, ΕΚ, ΚΒ, ΓΛ, ΛΖ, ΖΜ, ΜΔ, més petits que l'àrea H, la superfície cilíndrica restant retallada per les rectes ΑΓ, ΒΔ és més gran que el paral·lelogram ΑΓΒΔ.

⌈ιβʹ⌉

Ἐὰν ἐν ἐπιφανείᾳ κυλίνδρου τινὸς ὀρθοῦ δύο εὐθεῖαι ὦσιν, ἀπὸ δὲ τῶν περάτων τῶν εὐθειῶν ἀχθῶσίν τινες ἐπιψαύουσαι τῶν κύκλων, οἵ εἰσιν βάσεις τοῦ κυλίνδρου, ἐν τῷ ἐπιπέδῳ αὐτῶν οὖσαι καὶ συμπέσωσιν, τὰ παραλληλόγραμμα τὰ περιεχόμενα ὑπό τε τῶν ἐπιψαυουσῶν καὶ τῶν πλευρῶν τοῦ κυλίνδρου μείζονα ἔσται τῆς ἐπιφανείας τοῦ κυλίνδρου τῆς μεταξὺ τῶν εὐθειῶν τῶν ἐν τῇ ἐπιφανείᾳ τοῦ κυλίνδρου.

ἔστω κυλίνδρου τινὸς ὀρθοῦ βάσις ὁ ΑΒΓ κύκλος, καὶ ἔστωσαν ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ δύο εὐθεῖαι, ὧν πέρατα τὰ Α, Γ, ἀπὸ δὲ τῶν Α, Γ ἤχθωσαν ἐπιψαύουσαι τοῦ κύκλου ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι καὶ συμπιπτέτωσαν κατὰ τὸ Η, νοείσθωσαν δὲ καὶ ἐν τῇ ἑτέρᾳ βάσει τοῦ κυλίνδρου ἀπὸ τῶν περάτων τῶν ἐν τῇ ἐπιφανείᾳ εὐθεῖαι ἠγμέναι ἐπιψαύουσαι τοῦ κύκλου. δεικτέον, ὅτι τὰ παραλληλόγραμμα τὰ περιεχόμενα ὑπὸ τῶν ἐπιψαυουσῶν καὶ τῶν πλευρῶν τοῦ κυλίνδρου μείζονά ἐστι τῆς κατὰ τὴν ΑΒΓ περιφέρειαν ἐπιφανείας τοῦ κυλίνδρου.

ἤχθω γὰρ ἡ ΕΖ ἐπιψαύουσα, καὶ ἀπὸ τῶν Ε, Ζ σημείων ἤχθωσάν τινες εὐθεῖαι παρὰ τὸν ἄξονα τοῦ κυλίνδρου ἕως [τῆς ἐπιφανείας] τῆς ἑτέρας βάσεως· τὰ δὴ παραλληλόγραμμα τὰ περιεχόμενα ὑπὸ τῶν ΑΗ, ΗΓ καὶ τῶν πλευρῶν τοῦ κυλίνδρου μείζονά ἐστιν τῶν παραλληλογράμμων τῶν περιεχομένων ὑπό τε τῶν ΑΕ, ΕΖ, ΖΓ καὶ τῆς πλευρᾶς τοῦ κυλίνδρου [ἐπεὶ γὰρ αἱ ΕΗ, ΗΖ τῆς ΕΖ μείζους εἰσίν, κοιναὶ προσκείσθωσαν αἱ ΑΕ, ΖΓ. ὅλαι ἄρα αἱ ΗΑ, ΗΓ μείζους εἰσὶν τῶν ΑΕ, ΕΖ, ΖΓ]. ᾧ δὴ μείζονά ἐστιν, ἔστω τὸ Κ χωρίον. τοῦ δὴ Κ χωρίου τὸ ἥμισύ ἤτοι μεῖζόν ἐστι τῶν σχημάτων τῶν περιεχομένων ὑπὸ τῶν ΑΕ, ΕΖ, ΖΓ εὐθειῶν καὶ τῶν ΑΔ, ΔΒ, ΒΘ, ΘΓ περιφερειῶν ἢ οὔ.

ἔστω πρότερον μεῖζον. τῆς δὴ ἐπιφανείας τῆς συγκειμένης ἔκ τε τῶν παραλληλογράμμων τῶν κατὰ τὰς ΑΕ, ΕΖ, ΖΓ καὶ τοῦ ΑΕΖΓ τραπεζίου καὶ τοῦ κατεναντίον αὐτοῦ ἐν τῇ ἑτέρᾳ βάσει τοῦ κυλίνδρου πέρας ἐστὶν ἡ περίμετρος τοῦ παραλληλογράμμου τοῦ κατὰ τὴν ΑΓ. ἔστιν δὲ καὶ τῆς ἐπιφανείας τῆς συγκειμένης ἐκ τῆς ἐπιφανείας τοῦ κυλίνδρου τῆς κατὰ τὴν ΑΒΓ περιφέρειαν καὶ τῶν τμημάτων τοῦ τε ΑΒΓ καὶ τοῦ ἀπεναντίον αὐτοῦ πέρας ἡ αὐτὴ περίμετρος· αἱ οὖν εἰρημέναι ἐπιφάνειαι τὸ αὐτὸ πέρας ἔχουσαι τυγχάνουσιν, ὅπερ ἐστὶν ἐν ἐπιπέδῳ, καί εἰσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καί τινα μὲν περιλαμβάνει ἡ ἑτέρα αὐτῶν, τινὰ δὲ κοινὰ ἔχουσιν· ἐλάσσων ἄρα ἐστὶν ἡ περιλαμβανομένη. ἀφαιρεθέντων οὖν κοινῶν τοῦ τε ΑΒΓ τμήματος καὶ τοῦ ἀπεναντίον αὐτοῦ ἐλάσσων ἐστὶν ἡ ἐπιφάνεια τοῦ κυλίνδρου ἡ κατὰ τὴν ΑΒΓ περιφέρειαν τῆς συγκειμένης ἐπιφανείας ἔκ τε τῶν παραλληλογράμμων τῶν κατὰ τὰς ΑΕ, ΕΖ, ΖΓ καὶ τῶν σχημάτων τῶν ΑΕΒ, ΒΖΓ καὶ τῶν ἀπεναντίον αὐτῶν. αἱ δὲ τῶν εἰρη-

⌈12⌉

Sempre que en la superfície d'un cert cilindre recte hi siguin dues rectes, i dels límits de les rectes siguin traçades certes tangents dels cercles que són bases del cilindre, <tangents> què són en el pla d'aquests cercles, i hi concorrin, els paral·lelograms compresos per les tangents i pels costats del cilindre hauran de ser més grans que la superfície del cilindre entre les rectes que són en la superfície del cilindre.

Heus aquí la base d'un cert cilindre recte, el cercle ΑΒΓ, i heus aquí dues rectes en la seva superfície, límits de les quals són Α, Γ. I, des d'Α, Γ estiguin conduides unes tangents del cercle, <tangents> que són en el mateix pla, i hi estiguin concorrent per Η. I també, en l'altra base del cilindre, siguin considerades unes rectes tangents del cercle conduides des dels límits en la superfície. S'ha de provar que els paral·lelograms compresos per les tangents i pels costats del cilindre són més grans que la superfície del cilindre per la circumferència ΑΒΓ.

<En efecte, un cop tallada en dos la circumferència ΑΒΓ pel punt Β,> estigui conduïda una tangent ΕΖ i, des d'uns punts Ε, Ζ, estiguin conduides certes rectes paral·leles a l'eix del cilindre cap a [la superfície de] l'altra base. Els paral·lelograms compresos per ΑΗ, ΗΓ, i pel costat del cilindre són, doncs, més grans que els paral·lelograms compresos tant per ΑΕ, ΕΖ, ΖΓ com pel costat del cilindre. [En efecte, atès que ΕΗ, ΗΖ són més grans que ΕΖ, estiguin juxtaposades unes rectes comunes ΑΕ, ΖΓ, per tant, la totalitat d'ΗΑ, ΗΓ és més gran que ΑΕ, ΕΖ, ΖΓ]. Heus aquí, doncs, l'àrea en què és més gran, Κ. La meitat de l'àrea Κ, doncs, o bé és més gran que les figures compreses per les rectes ΑΕ, ΕΖ, ΖΓ i per les circumferències ΑΔ, ΔΒ, ΒΘ, ΘΓ, o bé no.

Heu-la aquí, en primer lloc, més gran. El límit de la superfície composta a partir tant dels paral·lelograms per ΑΕ, ΕΖ, ΖΓ, com del trapezi ΑΕΖΓ, com del seu oposat corresponent a l'altra base del cilindre és, doncs, el perímetre del paral·lelogram per ΑΓ. Però aquest mateix perímetre és també el límit de la superfície composta a partir de la superfície del cilindre per la circumferència ΑΒΓ i dels segments, tant ΑΒΓ com el seu oposat. Així, doncs, s'escau que les superfícies esmentades tenen el mateix límit, que és precisament en un pla, ambdues són còncaves sobre un mateix costat i una d'elles conté una part de l'altra mentre que tenen l'altra part comuna. Per tant, la continguda és més petita. Així, doncs, un cop extrets uns segments comuns, tant el segment ΑΒΓ com el seu oposat, la superfície del cilindre per la circumferència ΑΒΓ és més petita que la superfície composta a partir tant dels paral·lelograms per ΑΕ, ΕΖ, ΖΓ, com de les figures μένων παραλληλογράμμων ἐπιφάνειαι μετὰ τῶν εἰρημένων σχημάτων ἐλάττους εἰσὶν τῆς ἐπιφανείας τῆς συγκειμένης ἐκ τῶν παραλληλογράμμων τῶν κατὰ τὰς ΑΗ, ΗΓ [μετα γὰρ τοῦ Κ μείζονος ὄντος τῶν σχημάτων ἴσαι ἦσαν αὐτοῖς]· δῆλον οὖν, ὅτι τὰ παραλληλόγραμμα τὰ περιεχόμενα ὑπὸ τῶν ΑΗ, ΓΗ καὶ τῶν πλευρῶν τοῦ κυλίνδρου μείζονά ἐστι τῆς ἐπιφανείας τοῦ κυλίνδρου τῆς κατὰ τὴν ΑΒΓ περιφέρειαν.

εἰ δὲ μή ἐστιν μεῖζον τὸ ἡμισύ τοῦ Κ χωρίου τῶν εἰρημένων σχημάτων, ἀχθήσονται εὐθεῖαι ἐπιψαύουσαι τοῦ τμήματος, ὥστε γενέσθαι τὰ περιλειπόμενα σχήματα ἐλάσσονα τοῦ ἡμίσους τοῦ Κ, καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς ἔμπροσθεν δειχθήσεται.



⌈φανερά⌉

Τούτων δὴ δεδειγμένων φανερὸν [ἐπὶ μὲν τῶν προειρημένων], ὅτι, ἐὰν εἰς κῶνον ἰσοσκελῆ πυραμὶς ἐγγραφῇ, ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως ἐλάσσων ἐστὶ τῆς κωνικῆς ἐπιφανείας [ἕκαστον γὰρ τῶν περιεχόντων τὴν πυραμίδα τριγώνων

AEB, BZΓ, com de les seves oposades. Però les superfícies dels paral·lelograms esmentats, juntament amb les figures esmentades, són més petites que les superfícies compostes a partir dels paral·lelograms per AH, HΓ [ja que, juntament amb K, que és més gran que les figures, eren iguals a aquells]. Així, doncs, és evident que els paral·lelograms compresos per AH, ΓH, i pels costats del cilindre són més grans que la superfície del cilindre per la circumferència ABΓ.

Però si la meitat de l'àrea K no és més gran que les figures esmentades, seran conduides rectes tangents del segment, de manera que les figures que resten al voltant resultin més petites que la meitat de K, i la resta serà provat de la mateixa manera que abans.



⌈resultats evidents (a partir de 9—12)⌉

Un cop provat això, doncs, és clar [sobre <la base> del que hem esmentat abans] que sempre que una piràmide sigui inscrita a un con isòsceles, la superfície de la piràmide, llevat de la base, serà més petita que la superfície cònica [ja que ἔλασσόν ἐστιν τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν τοῦ τριγώνου πλευρῶν· ὥστε καὶ ὅλη ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ κώνου χωρὶς τῆς βάσεως], καὶ ὅτι, ἐὰν περὶ κῶνον ἰσοσκελῆ πυραμὶς περιγραφῇ, ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως μείζων ἐστὶν τῆς ἐπιφανείας τοῦ κώνου χωρὶς τῆς βάσεως [κατὰ τὸ συνεχὲς ἐκείνῳ].

φανερὸν δὲ ἐκ τῶν ἀποδεδειγμένων, ὅτι τε, ἐὰν εἰς κύλινδρον ὀρθὸν πρίσμα ἐγγραφῇ, ἡ ἐπιφάνεια τοῦ πρίσματος ἡ ἐκ τῶν παραλληλογράμμων συγκειμένη ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ κυλίνδρου χωρὶς τῆς βάσεως [ἔλασσον γὰρ ἕκαστον παραλληλόγραμμον τοῦ πρίσματός ἐστι τῆς καθ᾽ αὑτὸ τοῦ κυλίνδρου ἐπιφανείας], καὶ ὅτι, ἐὰν περὶ κύλινδρον ὀρθὸν πρίσμα περιγραφῇ, ἡ ἐπιφάνεια τοῦ πρίσματος ἡ ἐκ τῶν παραλληλογράμμων συγκειμένη μείζων ἐστὶ τῆς ἐπιφανείας τοῦ κυλίνδρου χωρὶς τῆς βάσεως.

⌈ιγʹ⌉

Παντὸς κυλίνδρου ὀρθοῦ ἡ ἐπιφάνεια χωρὶς τῆς βάσεως ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς πλευρᾶς τοῦ κυλίνδρου καὶ τῆς διαμέτρου τῆς βάσεως τοῦ κυλίνδρου.

ἔστω κυλίνδρου τινὸς ὀρθοῦ βάσις ὁ Α κύκλος, καὶ ἔστω τῇ μὲν διαμέτρῳ τοῦ Α κύκλου ἴση ἡ ΓΔ, τῇ δὲ πλευρᾷ τοῦ κυλίνδρου ἡ ΕΖ, ἐχέτω δὲ μέσον λόγον τῶν ΔΓ, ΕΖ ἡ Η, καὶ κείσθω κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ Η, ὁ Β· δεικτέον, ὅτι ὁ Β κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ κυλίνδρου χωρὶς τῆς βάσεως.

εἰ γὰρ μή ἐστιν ἴσος, ἤτοι μείζων ἐστὶ ἢ ἐλάσσων. ἔστω πρότερον, εἰ δυνατόν, ἐλάσσων. δύο δὴ μεγεθῶν ὄντων ἀνίσων τῆς τε ἐπιφανείας τοῦ κυλίνδρου καὶ τοῦ Β κύκλου δυνατόν ἐστιν εἰς τὸν Β κύκλον ἰσόπλευρον πολύγωνον ἐγγράψαι καὶ ἄλλο περιγράψαι, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια τοῦ κυλίνδρου πρὸς τὸν Β κύκλον. νοείσθω δὴ περιγεγραμμένον καὶ ἐγγεγραμμένον, καὶ περὶ τὸν Α κύκλον περιγεγράφθω εὐθύγραμμον ὅμοιον τῷ περὶ τὸν Β περιγεγραμμένῳ, καὶ ἀναγεγράφθω ἀπὸ τοῦ εὐθυγράμμου πρίσμα· ἔσται δὴ περὶ τὸν κύλινδρον περιγεγραμμένον. ἔστω δὲ καὶ τῇ περιμέτρῳ τοῦ εὐθυγράμμου τοῦ περὶ τὸν Α κύκλον ἴση ἡ ΚΔ καὶ τῇ ΚΔ ἴση ἡ ΛΖ, τῆς δὲ ΓΔ ἡμίσεια ἔστω ἡ ΓΤ· ἔσται δὴ τὸ ΚΔΤ τρίγωνον ἴσον τῷ περιγεγραμμένῳ εὐθυγράμμῳ περὶ τὸν Α κύκλον [ἐπειδὴ βάσιν μὲν ἔχει τῇ περιμέτρῳ ἴσην, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τοῦ Α κύκλου], τὸ δὲ ΕΛ παραλληλόγραμμον τῇ ἐπιφανείᾳ τοῦ πρίσματος τοῦ περὶ τὸν κύλινδρον περιγεγραμμένου [ἐπειδὴ περιέχεται ὑπὸ τῆς πλευρᾶς τοῦ κυλίνδρου καὶ τῆς ἴσης τῇ περιμέτρῳ τῆς βάσεως τοῦ πρίσματος]. κείσθω δὴ τῇ ΕΖ ἴση ἡ ΕΡ·

cada un dels triangles que comprenen la piràmide és més petit que la superfície cònica entre els costats del triangle, de manera que la totalitat de la superfície de la piràmide, llevat de la base, és també més petita que la superfície del con, llevat de la base]. I que, sempre que una piràmide sigui circumscrita al voltant d'un con isòsceles, la superfície de la piràmide, llevat de la base, serà més gran que la superfície del con, llevat de la base, [d'acord amb el que ve immediatament després d'allò].

I, és clar, a partir del que s'ha demostrat, que, sempre que un prisma sigui inscrit a un cilindre recte, la superfície del prisma composta a partir dels paral·lelograms serà més petita que la superfície del cilindre, llevat de la base [ja que cada paral·lelogram del prisma és més petit que la superfície del cilindre corresponent], i que, sempre que un prisma sigui circumscrit al voltant d'un cilindre recte, la superfície del prisma composta a partir dels paral·lelograms serà més gran que la superfície del cilindre, llevat de la base.

⌈13⌉

La superfície de tot cilindre recte, llevat de la base, és igual a un cercle el radi del qual té una raó mitjana del costat del cilindre i del diàmetre de la base del cilindre.

Heus aquí la base d'un cert cilindre recte, el cercle A. Heus aquí ΓΔ igual al diàmetre del cercle A, mentre que EZ igual al costat del cilindre. Tingui H una raó mitjana de ΔΓ, EZ. Estigui posat un cercle B el radi del qual és igual a H. S'ha de provar que el cercle B és igual a la superfície del cilindre, llevat de la base.

En efecte, si no és igual, o bé és més gran, o bé més petit. En primer lloc, heus aquí, si és possible, que és més petit. Havent-hi, doncs, dues magnituds desiguals, tant la superfície del cilindre com el cercle B, és possible inscriure al cercle B un polígon equilàter i circumscriure-n'hi un altre de manera que el circumscrit respecte de l'inscrit tingui una raó més petita que la que té la superfície del cilindre respecte del cercle B. Siguin considerats, doncs, el circumscrit i l'inscrit i al voltant del cercle A estigui circumscrita una figura rectilínia semblant al polígon circumscrit al voltant de B, i estigui aixecat des de la figura rectilínia un prisma; estarà, doncs, circumscrit al voltant del cilindre. Però heus aquí KΔ igual al perímetre de la figura rectilínia al voltant del cercle A i ΛZ igual a KΔ. I heus aquí una meitat de ΓΔ, ΓT. Serà, doncs, el triangle KΔT igual a la figura rectilínia circumscrita al voltant del cercle A [car té base igual al perímetre, mentre que altura igual al radi del cercle A], i el paral·lelogram EΛ igual a la superfície del prisma circumscrit al voltant del cilindre [car està comprès pel costat del cilindre i per ἴσον ἄρα ἐστὶν τὸ ΖΡΛ τρίγωνον τῷ ΕΛ παραλληλογράμμῳ, ὥστε καὶ τῇ ἐπιφανείᾳ τοῦ πρίσματος. καὶ ἐπεὶ ὅμοιά ἐστιν τὰ εὐθύγραμμα τὰ περὶ τοὺς Α, Β κύκλους περιγεγραμμένα, τὸν αὐτὸν ἕξει λόγον [τὰ εὐθύγραμμα], ὅνπερ αἱ ἐκ τῶν κέντρων δυνάμει· ἕξει ἄρα τὸ ΚΤΔ τρίγωνον πρὸς τὸ περὶ τὸν Β κύκλον εὐθύγραμμον λόγον, ὃν ἡ ΤΔ πρὸς Η δυνάμει [αἱ γὰρ ΤΔ, Η ἴσαι εἰσὶν ταῖς ἐκ τῶν κέντρων]. ἀλλ᾽ ὃν ἔχει λόγον ἡ ΤΔ πρὸς Η δυνάμει, τοῦτον ἔχει τὸν λόγον ἡ ΤΔ πρὸς ΡΖ μήκει [ἡ γὰρ Η τῶν ΤΔ, ΡΖ μέση ἐστὶ ἀνάλογον διὰ τὸ καὶ τῶν ΓΔ, ΕΖ· πῶς δὲ τοῦτο;] [ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ μὲν ΔΤ τῇ ΤΓ, ἡ δὲ ΡΕ τῇ ΕΖ, διπλασία ἄρα ἐστὶν ἡ ΓΔ τῆς ΤΔ, καὶ ἡ ΡΖ τῆς ΡΕ·] [ἔστιν ἄρα, ὡς ἡ ΔΓ πρὸς ΔΤ, οὕτως ἡ ΡΖ πρὸς ΖΕ. τὸ ἄρα ὑπὸ τῶν ΓΔ, ΕΖ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΤΔ, ΡΖ. τῷ δὲ ὑπὸ τῶν ΓΔ, ΕΖ ἴσον ἐστὶν τὸ ἀπὸ Η· τῷ καὶ ὑπὸ τῶν ΤΔ, ΡΖ ἄρα ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Η. ἔστιν ἄρα, ὡς ἡ ΤΔ πρὸς Η, οὕτως ἡ Η πρὸς ΡΖ. ἔστιν ἄρα, ὡς ἡ ΤΔ πρὸς ΡΖ, τὸ ἀπὸ τῆς ΤΔ πρὸς τὸ ἀπὸ τῆς Η· ἐὰν γὰρ τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἔστιν, ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας εἶδος τὸ ὅμοιον καὶ ὁμοίως ἀναγεγραμμένον]· ὃν δὲ λόγον ἔχει ἡ ΤΔ πρὸς ΡΖ μήκει, τοῦτον ἔχει τὸ ΚΤΔ τρίγωνον πρὸς τὸ ΡΛΖ [ἐπειδήπερ ἴσαι εἰσὶν αἱ ΚΔ, ΛΖ]· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ ΚΤΔ τρίγωνον πρὸς τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον, ὅνπερ τὸ ΤΚΔ τρίγωνον πρὸς τὸ ΡΖΛ τρίγωνον. ἴσον ἄρα ἐστὶν τὸ ΖΛΡ τρίγωνον τῷ περὶ τὸν Β κύκλον περιγεγραμμένῳ εὐθυγράμμῳ· ὥστε καὶ ἡ ἐπιφάνεια τοῦ πρίσματος τοῦ περὶ τὸν Α κύλινδρον περιγεγραμμένου τῷ εὐθυγράμμῳ τῷ περὶ τὸν Β κύκλον ἴση ἐστίν. καὶ ἐπεὶ ἐλάσσονα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον πρὸς τὸ ἐγγεγραμμένον ἐν τῷ κύκλῳ τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια τοῦ Α κυλίνδρου πρὸς τὸν Β κύκλον, ἐλάσσονα λόγον ἕξει καὶ ἡ ἐπιφάνεια τοῦ πρίσματος τοῦ περὶ τὸν κύλινδρον περιγεγραμμένου πρὸς τὸ εὐθύγραμμον τὸ ἐν τῷ κύκλῳ τῷ Β ἐγγεγραμμένον ἤπερ ἡ ἐπιφάνεια τοῦ κυλίνδρου πρὸς τὸν Β κύκλον. καὶ ἐναλλάξ· ὅπερ ἀδύνατον [ἡ μὲν γὰρ ἐπιφάνεια τοῦ πρίσματος τοῦ περιγεγραμμένου περὶ τὸν κύλινδρον μείζων οὖσα δέδεικται τῆς ἐπιφανείας τοῦ κυλίνδρου, τὸ δὲ ἐγγεγραμμένον εὐθύγραμμον ἐν τῷ Β κύκλῳ ἔλασσόν ἐστιν τοῦ Β κύκλου]. οὐκ ἄρα ἐστὶν ὁ Β κύκλος ἐλάσσων τῆς ἐπιφανείας τοῦ κυλίνδρου.

ἔστω δή, εἰ δυνατόν, μείζων. πάλιν δὴ νοείσθω εἰς τὸν Β κύκλον εὐθύγραμμον ἐγγεγραμμένον καὶ ἄλλο περιγεγραμμένον, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν ἢ τὸν Β κύκλον πρὸς τὴν ἐπιφάνειαν τοῦ κυλίνδρου, καὶ ἐγγεγράφθω εἰς τὸν Α κύκλον πολύγωνον ὅμοιον τῷ εἰς τὸν Β κύκλον ἐγγεγραμμένῳ, καὶ πρίσμα ἀναγεγράφθω ἀπὸ τοῦ ἐν τῷ κύκλῳ ἐγγεγραμμένου πολυγώνου. καὶ πάλιν ἡ ΚΔ ἴση ἔστω τῇ περιμέτρῳ τοῦ εὐθυγράμμου τοῦ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένου, καὶ ἡ ΖΛ ἴση αὐτῇ ἔστω. ἔσται δὴ τὸ μὲν ΚΤΔ τρίγωνον μεῖζον τοῦ la recta igual al perímetre de la base del prisma]. Estigui, doncs, posat EP igual a EZ. Per tant, el triangle ZPΛ és igual al paral·lelogram EΛ, de manera que també ho és a la superfície del prisma. I, atès que les figures rectilínies circumscrites al voltant dels cercles A, B són semblants, tindran precisament la mateixa raó [les figures rectilínies] que els radis, en potència, per tant, el triangle KTΔ respecte de la figura rectilínia al voltant del cercle B tindrà una raó que té TΔ respecte d'H, en potència [ja que TΔ, H són iguals als radis]. Tanmateix, la raó que té TΔ respecte d'H, en potència, aqueixa té TΔ respecte de PZ, en longitud [ja que H és, precisament, una mitjana proporcional de TΔ, PZ, pel fet que també <ho és> de ΓΔ, EZ. Però com és això? En efecte, atès que, d'una banda, ΔT és igual a TΓ mentre que PE a EZ, per tant, ΓΔ és el doble de TΔ, i PZ ho és de PE. Per tant, com ΔΓ respecte de ΔT, així és PZ respecte de ZE. Per tant, el rectangle comprès per ΓΔ, EZ també és igual al rectangle comprès per TΔ, PZ. Però el quadrat a partir d'H és igual al rectangle comprès per ΓΔ, EZ. El quadrat a partir d'H, per tant, és igual al rectangle comprès per TΔ, PZ. Per tant, com TΔ respecte d'H, així H respecte de PZ. Per tant, com TΔ respecte de PZ, és el quadrat a partir de TΔ respecte del quadrat a partir d'H, ja que, sempre que tres rectes siguin proporcionals, com la primera respecte de la tercera, així serà la forma a partir de la primera respecte de la forma a partir la segona, la que és semblant i aixecada d'una manera semblant.] Però la raó que té TΔ respecte de PZ en longitud, aqueixa té el triangle KTΔ respecte del PΛZ [car KΔ, ΛZ són precisament iguals]. Per tant, el triangle KTΔ respecte de la figura rectilínia circumscrita al voltant del cercle B té precisament la mateixa raó que el triangle TKΔ respecte del triangle PZΛ. Per tant, el triangle ZΛP és igual a la figura rectilínia circumscrita al voltant del cercle B, de manera que també la superfície del prisma circumscrit al voltant del cilindre A és igual a la figura rectilínia al voltant del cercle B. I, atès que la figura rectilínia al voltant del cercle B respecte de la inscrita en el cercle té una raó més petita que la que té la superfície del cilindre A respecte del cercle B, la superfície del prisma circumscrit al voltant del cilindre respecte de la figura rectilínia inscrita en el cercle B també tindrà una raó més petita que la superfície del cilindre respecte del cercle B. I per alternança, cosa que és precisament impossible [ja que ha estat provat que la superfície del prisma circumscrit al voltant del cilindre és més gran que la superfície del cilindre, mentre que la figura rectilínia inscrita en el cercle B és més petita que el cercle B]. No es dóna el cas, per tant, que el cercle B és més petit que la superfície del cilindre.

Heu-lo aquí, doncs, si és possible, més gran. Sigui considerada, doncs, al seu torn, una figura rectilínia inscrita al cercle B, i una altra de circumscrita, de manera que la circumscrita respecte de la inscrita té una raó més petita que el cercle B respecte de la superfície del cilindre. Estigui inscrit al cercle A un polígon semblant a l'inscrit al cercle B i estigui aixecat un prisma des del polígon inscrit en el cercle. Al seu torn, KΔ sigui igual al perímetre de la figura rectilínia inscrita en el cercle A, i que ZΛ sigui igual a aquesta <figura>. Serà, doncs, el triangle εὐθυγράμμου τοῦ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένου [διότι βάσιν μὲν ἔχει τὴν περίμετρον αὐτοῦ, ὕψος δὲ μεῖζον τῆς ἀπὸ τοῦ κέντρου ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου ἀγομένης καθέτου], τὸ δὲ ΕΛ παραλληλόγραμμον ἴσον τῇ ἐπιφανείᾳ τοῦ πρίσματος τῇ ἐκ τῶν παραλληλογράμμων συγκειμένῃ [διότι περιέχεται ὑπὸ τῆς πλευρᾶς τοῦ κυλίνδρου καὶ τῆς ἴσης τῇ περιμέτρῳ τοῦ εὐθυγράμμου, ὅ ἐστιν βάσις τοῦ πρίσματος]· ὥστε καὶ τὸ ΡΛΖ τρίγωνον ἴσον ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ πρίσματος. καὶ ἐπεὶ ὅμοιά ἐστι τὰ εὐθύγραμμα τὰ ἐν τοῖς Α, Β κύκλοις ἐγγεγραμμένα, τὸν αὐτὸν ἔχει λόγον πρὸς ἄλληλα, ὃν αἱ ἐκ τῶν κέντρων αὐτῶν δυνάμει. ἔχει δὲ καὶ τὰ ΚΤΔ, ΖΡΛ τρίγωνα πρὸς ἄλληλα λόγον, ὃν αἱ ἐκ τῶν κέντρων τῶν κύκλων δυνάμει· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον πρὸς τὸ εὐθύγραμμον τὸ ἐν τῷ Β ἐγγεγραμμένον καὶ τὸ ΚΤΔ τρίγωνον πρὸς τὸ ΛΖΡ τρίγωνον. ἔλασσον δέ ἐστι τὸ εὐθύγραμμον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον τοῦ ΚΤΔ τριγώνου· ἔλασσον ἄρα καὶ τὸ εὐθύγραμμον τὸ ἐν τῷ Β κύκλῳ ἐγγεγραμμένον τοῦ ΖΡΛ τριγώνου· ὥστε καὶ τῆς ἐπιφανείας τοῦ πρίσματος τοῦ ἐν τῷ κυλίνδρῳ ἐγγεγραμμένου· ὅπερ ἀδύνατον [ἐπεὶ γὰρ ἐλάσσονα λόγον ἔχει τὸ περιγεγραμμένον εὐθύγραμμον περὶ τὸν Β κύκλον πρὸς τὸ ἐγγεγραμμένον ἢ ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κυλίνδρου, καὶ ἐναλλάξ, μεῖζον δέ ἐστι τὸ περιγεγραμμένον περὶ τὸν Β κύκλον τοῦ Β κύκλου, μεῖζον ἄρα ἐστὶν τὸ ἐγγεγραμμένον ἐν τῷ Β κύκλῳ τῆς ἐπιφανείας τοῦ κυλίνδρου.] [ὥστε καὶ τῆς ἐπιφανείας τοῦ πρίσματος]. οὐκ ἄρα μείζων ἐστὶν ὁ Β κύκλος τῆς ἐπιφανείας τοῦ κυλίνδρου. ἐδείχθη δέ, ὅτι οὐδὲ ἐλάσσων· ἴσος ἄρα ἐστίν.



KTΔ més gran que la figura rectilínia inscrita en el cercle A [perquè té base el seu perímetre, mentre que altura més gran que una recta conduïda perpendicular des del centre fins a un costat del polígon], mentre que el paral·lelogram EΛ, igual a la superfície del prisma composta a partir dels paral·lelograms [perquè està compresa pel costat del cilindre i per la recta igual al perímetre de la figura rectilínia, que és base del prisma], de manera que el triangle PΛZ és també igual a la superfície del prisma. I, atès que les figures rectilínies inscrites en els cercles A, B són semblants, tenen la mateixa raó, l'una respecte de l'altra, que els seus radis, en potència, Però els triangles KTΔ, ZPΛ tenen també una raó, l'un respecte de l'altre, que tenen els radis dels cercles, en potència. Per tant, la figura rectilínia inscrita en el cercle A respecte de la figura rectilínia inscrita en el cercle B, i el triangle KTΔ respecte del triangle ΛZP, tenen la mateixa raó. Però la figura rectilínia inscrita en el cercle A és més petita que el triangle KTΔ. Per tant, la figura rectilínia inscrita en el cercle B és també més petita que el triangle ZPΛ, de manera que també és més petita que la superfície del prisma inscrit en el cilindre, cosa que és precisament impossible. [En efecte, atès que la figura rectilínia circumscrita al voltant del cercle B respecte de la inscrita té una raó més petita que el cercle B respecte de la superfície del cilindre (i per alternança), però la circumscrita al voltant del cercle B és més gran que el cercle B, per tant, la inscrita en el cercle B és més gran que la superfície del cilindre, de manera que també és més gran que la superfície del prisma]. Per tant, no es dóna el cas que el cercle B és més gran que la superfície del cilindre, però fou provat que tampoc més petit. Per tant, és igual.



⌜ιδʹ⌝

Παντὸς κώνου ἰσοσκελοῦς χωρὶς τῆς βάσεως ἡ ἐπιφάνεια ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς πλευρᾶς τοῦ κώνου καὶ τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου, ὅς ἐστιν βάσις τοῦ κώνου.

ἔστω κῶνος ἰσοσκελής, οὗ βάσις ὁ Α κύκλος, ἡ δὲ ἐκ τοῦ κέντρου ἔστω ἡ Γ, τῇ δὲ πλευρᾷ τοῦ κώνου ἔστω ἴση ἡ Δ, τῶν δὲ Γ, Δ μέση ἀνάλογον ἡ Ε, ὁ δὲ Β κύκλος ἐχέτω τὴν ἐκ τοῦ κέντρου τῇ Ε ἴσην· λέγω, ὅτι ὁ Β κύκλος ἐστὶν ἴσος τῇ ἐπιφανείᾳ τοῦ κώνου χωρὶς τῆς βάσεως.

εἰ γὰρ μή ἐστιν ἴσος, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω πρότερον ἐλάσσων. ἔστι δὴ δύο μεγέθη ἄνισα ἥ τε ἐπιφάνεια τοῦ κώνου καὶ ὁ Β κύκλος, καὶ μείζων ἡ ἐπιφάνεια τοῦ κώνου. δυνατὸν ἄρα εἰς τὸν Β κύκλον πολύγωνον ἰσόπλευρον ἐγγράψαι καὶ ἄλλο περιγράψαι ὅμοιον τῷ ἐγγεγραμμένῳ, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Β κύκλον. νοείσθω δὴ καὶ περὶ τὸν Α κύκλον πολύγωνον περιγεγραμμένον ὅμοιον τῷ περὶ τὸν Β κύκλον περιγεγραμμένῳ, καὶ ἀπὸ τοῦ περὶ τὸν Α κύκλον περιγεγραμμένου πολυγώνου πυραμὶς ἀνεστάτω ἀναγεγραμμένη τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ. ἐπεὶ οὖν ὅμοιά ἐστιν τὰ πολύγωνα τὰ περὶ τοὺς Α, Β κύκλους περιγεγραμμένα, τὸν αὐτὸν ἔχει λόγον πρὸς ἄλληλα, ὃν αἱ ἐκ τοῦ κέντρου δυνάμει πρὸς ἀλλήλας, τουτέστιν ὃν ἔχει ἡ Γ πρὸς Ε δύναμει, τουτέστιν ἡ Γ πρὸς Δ μήκει. ὃν δὲ λόγον ἔχει ἡ Γ πρὸς Δ μήκει, τοῦτον ἔχει τὸ περιγεγραμμένον πολύγωνον περὶ τὸν Α κύκλον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς περιγεγραμμένης περὶ τὸν κῶνον [ἡ μὲν γὰρ Γ ἴση ἐστὶ τῇ ἀπὸ τοῦ κέντρου καθέτῳ ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου, ἡ δὲ Δ τῇ πλευρᾳ τοῦ κώνου· κοινὸν δὲ ὕψος ἡ περίμετρος τοῦ πολυγώνου πρὸς τὰ ἡμίση τῶν ἐπιφανειῶν]· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ περὶ τὸν Α κύκλον πρὸς τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον καὶ αὐτὸ τὸ εὐθύγραμμον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς περιγεγραμμένης περὶ τὸν κῶνον· ὥστε ἴση ἐστὶν ἡ ἐπιφάνεια τῆς πυραμίδος τῷ εὐθυγράμμῳ τῷ περὶ τὸν Β κύκλον περιγεγραμμένῳ. ἐπεὶ οὖν ἐλάσσονα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἤπερ ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Β κύκλον, ἐλάσσονα λόγον ἕξει ἡ ἐπιφάνεια τῆς πυραμίδος τῆς περὶ τὸν κῶνον περιγεγραμμένης πρὸς τὸ εὐθύγραμμον τὸ ἐν τῷ Β κύκλῳ ἐγγεγραμμένον ἤπερ ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Β κύκλον· ὅπερ ἀδύνατον [ἡ μὲν γὰρ ἐπιφάνεια τῆς πυραμίδος μείζων οὖσα δέδεικται τῆς ἐπιφανείας τοῦ κώνου, τὸ δὲ ἐγγεγραμμένον εὐθύγραμμον ἐν τῷ Β κύκλῳ ἔλασσον ἔσται τοῦ Β κύκλου]. οὐκ ἄρα ὁ Β κύκλος ἐλάσσων ἔσται τῆς ἐπιφανείας τοῦ κώνου.

⌈14⌉

La superfície de tot con isòsceles, llevat de la base, és igual a un cercle el radi del qual té una raó mitjana del costat del con i del radi del cercle que és base del con.

Heus aquí un con isòsceles base del qual el cercle A, i heus aquí el seu radi Γ i heus aquí Δ igual al costat del con, i E una mitjana proporcional de Γ, Δ. Tingui el cercle B radi igual a E. Jo dic que el cercle B és igual a la superfície del con, llevat de la base.

En efecte, si no és igual, o bé és més gran, o bé més petit. heu-lo aquí, en primer lloc, més petit. Hi ha, doncs, dues magnituds desiguals, tant la superfície del con com el cercle B, i és més gran la superfície del con. Per tant, és possible inscriure un polígon equilàter al cercle B i circumscriure-n'hi <un altre> de semblant a l'inscrit, de manera que el circumscrit respecte de l'inscrit tingui una raó més petita que la que té la superfície del con respecte del cercle B. Sigui considerat, doncs, un polígon circumscrit al voltant del cercle A semblant al circumscrit al voltant del cercle B i alci's una piràmide aixecada des del polígon circumscrit en el cercle A que tingui el mateix vèrtex que el con. Així, doncs, atès que els polígons circumscrits al voltant dels cercles A, B són semblants, tenen la mateixa raó, en potència,l'un respecte de l'altre, que els radis, l'un respecte de l'altre (és a dir, que Γ respecte d'E, en potència, és a dir, Γ respecte de Δ en longitud). Però la raó que té Γ respecte de Δ en longitud, aqueixa té el polígon circumscrit al voltant del cercle A respecte de la superfície de la piràmide circumscrita al voltant del con [ja que Γ és igual a la perpendicular des del centre fins a un costat del polígon, mentre que Δ igual al costat del con; però el perímetre del polígon és altura comuna per a la meitat de les superfícies]. Per tant, tenen la mateixa raó la figura rectilínia al voltant del cercle A respecte de la figura rectilínia al voltant del cercle B, i la mateixa figura rectilínia respecte de la superfície de la piràmide circumscrita al voltant del con, de manera que la superfície de la piràmide és igual a la figura rectilínia circumscrita al voltant del cercle B. Així, doncs, atès que la figura rectilínia circumscrita al voltant del cercle B respecte de la inscrita té una raó més petita que la superfície del con respecte del cercle B, la superfície de la piràmide circumscrita al voltant del con respecte de la figura rectilínia inscrita en el cercle B tindrà una raó més petita que la superfície del con respecte del cercle B, cosa que és precisament impossible [ja que ha estat provat que la superfície de la piràmide és més gran que la superfície del con, mentre que la figura rectilínia inscrita en el cercle B serà més petita que el cercle B.] No es dóna el cas, per tant, que el cercle B serà més petit que la superfície del con.

λέγω δή, ὅτι οὐδὲ μείζων. εἰ γὰρ δυνατόν ἐστιν, ἔστω μείζων. πάλιν δὴ νοείσθω εἰς τὸν Β κύκλον πολύγωνον ἐγγεγραμμένον καὶ ἄλλο περιγεγραμμένον, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου, καὶ εἰς τὸν Α κύκλον νοείσθω ἐγγεγραμμένον πολύγωνον ὅμοιον τῷ εἰς τὸν Β κύκλον ἐγγεγραμμένῳ, καὶ ἀναγεγράφθω ἀπ᾽ αὐτοῦ πυραμὶς τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ. ἐπεὶ οὖν ὅμοιά ἐστι τὰ ἐν τοῖς Α, Β κύκλοις ἐγγεγραμμένα, τὸν αὐτὸν ἕξει λόγον πρὸς ἄλληλα, ὃν αἱ ἐκ τῶν κέντρων δυνάμει πρὸς ἀλλήλας· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ πολύγωνον πρὸς τὸ πολύγωνον καὶ ἡ Γ πρὸς τὴν Δ μήκει. ἡ δὲ Γ πρὸς τὴν Δ μείζονα λόγον ἔχει ἢ τὸ πολύγωνον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς ἐγγεγραμμένης εἰς τὸν κῶνον [ἡ γὰρ ἐκ τοῦ κέντρου τοῦ Α κύκλου πρὸς τὴν πλευρὰν τοῦ κώνου μείζονα λόγον ἔχει ἤπερ ἡ ἀπὸ τοῦ κέντρου ἀγομένη κάθετος ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου πρὸς τὴν ἐπὶ τὴν πλευρὰν τοῦ πολυγώνου κάθετον ἀγομένην ἀπὸ τῆς κορυφῆς τοῦ κώνου]. μείζονα ἄρα λόγον ἔχει τὸ πολύγωνον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον πρὸς τὸ πολύγωνον τὸ ἐν τῷ Β ἐγγεγραμμένον ἢ αὐτὸ τὸ πολύγωνον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος· μείζων ἄρα ἐστὶν ἡ ἐπιφάνεια τῆς πυραμίδος τοῦ ἐν τῷ Β πολυγώνου ἐγγεγραμμένου. ἐλάσσονα δὲ λόγον ἔχει τὸ πολύγωνον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἢ ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου· πολλῷ ἄρα τὸ πολύγωνον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς ἐν τῷ κώνῳ ἐγγεγραμμένης ἐλάσσονα λόγον ἔχει ἢ ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου. ὅπερ ἀδύνατον [τὸ μὲν γὰρ περιγεγραμμένον πολύγωνον μεῖζόν ἐστιν τοῦ Β κύκλου, ἡ δὲ ἐπιφάνεια τῆς πυραμίδος τῆς ἐν τῷ κώνῳ ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ κώνου]. οὐκ ἄρα οὐδὲ μείζων ἐστὶν ὁ κύκλος τῆς ἐπιφανείας τοῦ κώνου. ἐδείχθη δέ, ὅτι οὐδὲ ἐλάσσων. ἴσος ἄρα.



Jo dic, doncs, que tampoc no és més gran. En efecte, si és possible, heu-lo aquí més gran. Sigui considerat, doncs, al seu torn, un polígon inscrit al cercle B, i un altre de circumscrit, de manera que el circumscrit respecte de l'inscrit tingui una raó més petita que la que té el cercle B respecte de la superfície del con. Sigui considerat un polígon inscrit al cercle A semblant a l'inscrit al cercle B, i estigui aixecada des d'aquest <polígon> una piràmide que tingui el mateix vèrtex que el con. Així, doncs, atès que són semblants els inscrits en els cercles A, B, tindran la mateixa raó, en potència, l'un respecte de l'altre, que els radis, l'un respecte de l'altre. Per tant, el polígon respecte del polígon i Γ respecte de Δ en longitud, tenen la mateixa raó. Però Γ respecte de Δ té una raó més gran que el polígon inscrit al cercle A respecte de la superfície de la piràmide inscrita al con [ja que el radi del cercle A respecte del costat del con té una raó més gran que una recta conduïda perpendicular des del centre fins a un costat del polígon respecte d'una recta conduïda perpendicular des del vèrtex del con fins al costat del polígon]. Per tant, el polígon inscrit en el cercle A respecte del polígon inscrit en el cercle B té una raó més gran que el mateix polígon respecte de la superfície de la piràmide. Per tant, la superfície de la piràmide és més gran que el polígon inscrit en B. Però el polígon circumscrit al voltant del cercle B respecte de l'inscrit té una raó més petita que el cercle B respecte de la superfície del con. Per tant, el polígon circumscrit en el cercle B respecte de la superfície de la piràmide inscrita en el con té, de molt, una raó més petita que el cercle B respecte de la superfície del con, cosa que és precisament impossible [ja que el polígon circumscrit és més gran que el cercle B, mentre que la superfície de la piràmide en el con és més petita que la superfície del con]. Tampoc no es dóna el cas, per tant, que el cercle és més gran que la superfície del con. Però fou provat que tampoc més petit. Per tant, igual.



⌈ιε′⌉

Παντὸς κώνου ἰσοσκελοῦς ἡ ἐπιφάνεια πρὸς τὴν βάσιν τὸν αὐτὸν ἔχει λόγον, ὃν ἡ πλευρὰ τοῦ κώνου πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς βάσεως τοῦ κώνου.

ἔστω κῶνος ἰσοσκελής, οὗ βάσις ὁ Α κύκλος, ἔστω δὲ τῇ μὲν ἐκ τοῦ κέντρου τοῦ Α ἴση ἡ Β, τῇ δὲ πλευρᾷ τοῦ κώνου ἡ Γ· δεικτέον, ὅτι τὸν αὐτὸν ἔχει λόγον ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Α κύκλον καὶ ἡ Γ πρὸς τὴν Β.

εἰλήφθω γὰρ τῶν Β, Γ μέση ἀνάλογον ἡ Ε, καὶ ἐκκείσθω κύκλος ὁ Δ ἴσην ἔχων τὴν ἐκ τοῦ κέντρου τῇ Ε· ὁ Δ ἄρα κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ κώνου [τοῦτο γὰρ ἐδείχθη ἐν τῷ πρὸ τούτου]. ἐδείχθη δὲ ὁ Δ κύκλος πρὸς τὸν Α κύκλον λόγον ἔχων τὸν αὐτὸν τῷ τῆς Γ πρὸς Β μήκει [ἑκάτερος γὰρ ὁ αὐτός ἐστι τῷ τῆς Ε πρὸς Β δυνάμει διὰ τὸ τοὺς κύκλους πρὸς ἀλλήλους εἶναι, ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα πρὸς ἄλληλα, ὁμοίως δὲ καὶ τὰ ἀπὸ τῶν ἐκ τῶν κέντρων τῶν κύκλων· εἰ γὰρ αἱ διάμετροι, καὶ τὰ ἡμίση, τουτέστιν αἱ ἐκ τῶν κέντρων· ταῖς δὲ ἐκ τῶν κέντρων ἴσαι εἰσὶν αἱ Β, Ε]. δῆλον οὖν, ὅτι ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Α κύκλον τὸν αὐτὸν ἔχει λόγον, ὃν ἡ Γ πρὸς Β μήκει.



[15]

La superfície de tot con isòsceles respecte de la base té la mateixa raó que el costat del con respecte del radi de la base del con.

Heus aquí un con isòsceles, base del qual el cercle A, i heus aquí B igual al radi d'A, mentre que Γ al costat del con. S'ha de provar que la superfície del con respecte del cercle A, Γ respecte de B tenen la mateixa raó.

En efecte, estigui presa una mitjana proporcional de B, Γ, E, i estigui disposat un cercle Δ que té el radi igual a E. Per tant, el cercle Δ és igual a la superfície del con [ja que això fou provat abans d'això]. Però fou provat que el cercle Δ respecte del cercle A té la mateixa raó que Γ respecte de B en longitud [ja que cadascuna és la mateixa que E respecte de B, en potència, pel fet que els cercles són, l'un respecte de l'altre, com els quadrats a partir dels diàmetres, l'un respecte de l'altre però, d'una manera semblant, són també com els quadrats a partir dels radis dels cercles —ja que si els diàmetres, també la seva meitat (és a dir, els radis); però B, E són iguals als radis]. Així, doncs, és evident que la superfície del con respecte del cercle A té la mateixa raó que Γ respecte de B en longitud.



⌈ιϛ′⌉

Ἐὰν κῶνος ἰσοσκελὴς ἐπιπέδῳ τμηθῇ παραλλήλῳ τῇ βάσει, τῇ μεταξὺ τῶν παραλλήλων ἐπιπέδων ἐπιφανείᾳ τοῦ κώνου ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς τε πλευρᾶς τοῦ κώνου τῆς μεταξὺ τῶν παραλλήλων ἐπιπέδων καὶ τῆς ἴσης ἀμφοτέραις ταῖς ἐκ τῶν κέντρων τῶν κύκλων τῶν ἐν τοῖς παραλλήλοις ἐπιπέδοις.

ἔστω κῶνος, οὗ τὸ διὰ τοῦ ἄξονος τρίγωνον ἴσον τῷ ΑΒΓ, καὶ τετμήσθω παραλλήλῳ ἐπιπέδῳ τῇ βάσει, καὶ ποιείτω τομὴν τὴν ΔΕ, ἄξων δὲ τοῦ κώνου ἔστω ὁ ΒΗ, κύκλος δέ τις ἐκκείσθω, οὗ ἡ ἐκ τοῦ κέντρου μέση ἀνάλογόν ἐστι τῆς τε ΑΔ καὶ συναμφοτέρου τῆς ΔΖ, ΗΑ, ἔστω δὲ κύκλος ὁ Θ· λέγω, ὅτι ὁ Θ κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ κώνου τῇ μεταξὺ τῶν ΔΕ, ΑΓ.

ἐκκείσθωσαν γὰρ κύκλοι οἱ Λ, Κ, καὶ τοῦ μὲν Κ κύκλου ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ ὑπὸ ΒΔΖ, τοῦ δὲ Λ ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ ὑπὸ ΒΑΗ· ὁ μὲν ἄρα Λ κύκλος ἴσος ἐστὶν τῇ ἐπιφανείᾳ τοῦ ΑΒΓ κώνου, ὁ δὲ Κ κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΔΕΒ. καὶ ἐπεὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΗ ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν ΒΔ, ΔΖ καὶ τῷ ὑπὸ τῆς ΑΔ καὶ συναμφοτέρου τῆς ΔΖ, ΑΗ διὰ τὸ παράλληλον εἶναι τὴν ΔΖ τῇ ΑΗ, ἀλλὰ τὸ μὲν ὑπὸ ΑΒ, ΑΗ δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ Λ κύκλου, τὸ δὲ ὑπὸ ΒΔ, ΔΖ δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ Κ κύκλου, τὸ δὲ ὑπὸ τῆς ΔΑ καὶ συναμφοτέρου τῆς ΔΖ, ΑΗ δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ Θ, τὸ ἄρα ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Λ κύκλου ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ἐκ τῶν κέντρων τῶν Κ, Θ κύκλων. ὥστε καὶ ὁ Λ κύκλος ἴσος ἐστὶ τοῖς Κ, Θ κύκλοις. ἀλλ᾽ ὁ μὲν Λ ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΒΑΓ κώνου, ὁ δὲ Κ τῇ ἐπιφανείᾳ τοῦ ΔΒΕ κώνου. λοιπὴ ἄρα ἡ ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν παραλλήλων ἐπιπέδων τῶν ΔΕ, ΑΓ ἴση ἐστὶ τῷ Θ κύκλῳ.



[Ἔστω παραλληλόγραμμον τὸ ΒΑΗ, καὶ διάμετρος αὐτοῦ ἔστω ἡ ΒΗ. τετμήσθω ἡ

⌈16⌉

Sempre que un con isòsceles sigui tallat amb un pla paral·lel a la base, a la superfície del con entre els plans paral·lels serà igual un cercle el radi del qual té una raó mitjana tant del costat del con entre els plans paral·lels com d'una recta igual a ambdós radis dels cercles en els plans paral·lels.

Heus aquí un con, el triangle per l'eix del qual igual a ΑΒΓ, estigui tallat amb un pla paral·lel a la base i faci una secció ΔΕ. Heus aquí l'eix del con ΒΗ i estigui disposat un cert cercle, el radi del qual és una mitjana proporcional tant d'ΑΔ com de ΔΖ, ΗΑ, conjuntament, i heu-lo aquí, un cercle Θ. Jo dic que el cercle Θ és igual a la superfície del con entre les rectes ΔΕ, ΑΓ.

En efecte, estiguin disposats uns cercles Λ, Κ, i el radi del cercle Κ pugui el rectangle ΒΔΖ, mentre que el radi de Λ pugui el rectangle ΒΑΗ. Per tant, el cercle Λ és igual a la superfície del con ΑΒΓ, mentre que el cercle Κ és igual a la superfície del ΔΕΒ. I, atès que el rectangle comprès per ΒΑ, ΑΗ és igual tant al comprès per ΒΔ, ΔΖ com al comprès per ΑΔ i per ΔΖ, ΑΗ, conjuntament (pel fet que ΔΖ és paral·lela a ΑΗ), tanmateix, el radi del cercle Λ pot el rectangle ΑΒ, ΑΗ, mentre que el radi del cercle Κ pot el rectangleΒΔ, ΔΖ, i el radi de Θ pot el comprès per ΔΑ i per ΔΖ, ΑΗ, conjuntament, per tant, el quadrat a partir del radi del cercle Λ és igual als quadrats a partir dels radis dels cercles Κ, Θ, de manera que el cercle Λ també és igual als cercles Κ, Θ. Tanmateix, Λ és igual a la superfície del con ΒΑΓ, mentre que Κ a la superfície del con ΔΒΕ. Per tant, la superfície restant del con entre els plans paral·lels ΔΕ, ΑΓ és igual al cercle Θ.



[Heus aquí un paral·lelogram ΒΑΗ, i un diàmetre seu heu-lo aquí ΒΗ. Estigui

ΒΑ πλευρά, ὡς ἔτυχεν, κατὰ τὸ Δ, καὶ διὰ τοῦ Δ ἤχθω παράλληλος τῇ ΑΗ ἡ ΔΘ, διὰ δὲ τοῦ Ζ τῇ ΒΑ ἡ ΚΛ·] [λέγω, ὅτι τὸ ὑπὸ ΒΑΗ ἴσον ἐστὶ τῷ τε ὑπὸ ΒΔΖ καὶ τῷ ὑπὸ ΔΑ καὶ συναμφοτέρου τῆς ΔΖ, ΑΗ.]

[ἐπεὶ γὰρ τὸ μὲν ὑπὸ ΒΑΗ ὅλον ἐστὶ τὸ ΒΗ, τὸ δὲ ὑπὸ ΒΔΖ τὸ ΒΖ, τὸ δὲ ὑπὸ ΔΑ καὶ συναμφοτέρου τῆς ΔΖ, ΑΗ ὁ ΜΝΞ γνώμων. τὸ μὲν γὰρ ὑπὸ ΔΑΗ ἴσον ἐστὶν τῷ ΚΗ διὰ τὸ ἴσον εἶναι τὸ ΚΘ παραπλήρωμα τῷ ΔΛ παραπληρώματι, τὸ δὲ ὑπὸ ΔΑ, ΔΖ τῷ ΔΛ· ὅλον ἄρα τὸ ΒΗ, ὅπερ ἐστὶν τὸ ὑπὸ ΒΑΗ, ἴσον ἐστὶ τῷ τε ὑπὸ ΒΔΖ καὶ τῷ ΜΝΞ γνώμονι, ὅς ἐστιν ἴσος τῷ ὑπὸ ΔΑ καὶ συναμφοτέρου τῆς ΑΗ, ΔΖ].



⌈ΛΗΜΜΑΤΑ⌉

⌈1⌉Οἱ κῶνοι οἱ ἴσον ὕψος ἔχοντες τὸν αὐτὸν ἔχουσι λόγον ταῖς βάσεσιν· καὶ οἱ ἴσας ἔχοντες βάσεις τὸν αὐτὸν ἔχουσι λόγον τοῖς ὕψεσιν.

ενυμ2Ἐὰν κύλινδρος ἐπιπέδῳ τμηθῇ παρὰ τὴν βάσιν, ἔστιν, ὡς ὁ κύλινδρος πρὸς τὸν κύλινδρον, ὁ ἄξων πρὸς τὸν ἄξονα.

⌈3⌉Τοῖς δὲ κυλίνδροις ἐν τῷ αὐτῷ λόγῳ εἰσὶν οἱ κῶνοι οἱ ἔχοντες τὰς αὐτὰς βάσεις τοῖς κυλίνδροις.

⌈4⌉Καὶ τῶν ἴσων κώνων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν καὶ ὧν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσοι εἰσίν.

tallat un costat BA, com s'escaigui, per Δ, i estigui conduïda per Δ una paral·lela a AH, ΔΘ, i per Z una paral·lela a BA, KΛ. Jo dic que el rectangle BAH és igual tant al rectangle BΔZ com al rectangle per ΔA i per ΔZ, AH, conjuntament.

En efecte, atès que la totalitat del rectangle BAH és el <quadrat> BH, mentre que el rectangle BΔZ és el BZ, i el rectangle per ΔA i per ΔZ, AH, conjuntament, és el gnòmon MNΞ, ja que el rectangle ΔAH és igual al <quadrat>KH, pel fet que el complement KΘ és igual al complement ΔΛ, mentre que el rectangle comprès per ΔA, ΔZ és igual al <quadrat> ΔΛ, per tant, la totalitat del quadrat BH, que és precisament el rectangle BAH, és igual tant al rectangle BΔZ com al gnòmon MNΞ, que és igual al rectangle per ΔA i per AH, ΔZ, conjuntament.]



⌈Alguns resultats coneguts⌉

⌈1⌉Els cons que tenen igual altura tenen la mateixa raó que les seves bases, i els cons que tenen bases iguals, tenen la mateixa raó que les seves altures.

⌈2⌉Sempre que sigui tallat un cilindre amb un pla paral·lel a la base, com el cilindre respecte del cilindre, serà l'eix respecte de l'eix.

⌈3⌉I els cons que tenen les mateixes bases que els cilindres, estan en la mateixa raó que els cilindres.

⌈4⌉Les bases dels cons iguals són inversament proporcionals a les altures i, si les bases són inversament proporcionals a les altures, els cons són iguals.

⌈5⌉Καὶ οἱ κῶνοι, ὧν αἱ διάμετροι τῶν βάσεων τὸν αὐτὸν λόγον ἔχουσιν τοῖς ἄξοσιν [τουτέστιν τοῖς ὕψεσι], πρὸς ἀλλήλους ἐν τριπλασίονι λόγῳ εἰσὶν τῶν ἐν ταῖς βάσεσι διαμέτρων.

Ταῦτα δὲ πάντα ὑπὸ τῶν πρότερον ἀπεδείχθη.

⌈ιζ′⌉

Ἐὰν ὦσιν δύο κῶνοι ἰσοσκελεῖς, ἡ δὲ τοῦ ἑτέρου κώνου ἐπιφάνεια ἴση ᾗ τῇ τοῦ ἑτέρου βάσει, ἡ δὲ ἀπὸ τοῦ κέντρου τῆς βάσεως ἐπὶ τὴν πλευρὰν τοῦ κώνου κάθετος ἀγομένη τῷ ὕψει ἴση ᾗ, ἴσοι ἔσονται οἱ κῶνοι.

Γίνεται δὴ καὶ τὸ περιγεγραμμένον σχῆμα περὶ τὸν τομέα σὺν τῷ κώνῳ, οὗ βάσις ὁ περὶ διάμετρον τὴν ΚΛ κύκλος, κορυφὴ δὲ τὸ κέντρον, ἴσον κώνῳ, οὗ ἡ μὲν βάσις ἴση ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ σχήματος, ὕψος δὲ τῇ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν πλευρὰν καθέτῳ ἠγμένῃ [ἣ δὴ ἴση ἐστὶ τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας· τὸ γὰρ περιγεγραμμένον σχῆμα τῷ τομεῖ ἐγγεγραμμένον ἐστὶν εἰς τὸ τμῆμα τῆς μείζονος σφαίρας, ἧς κέντρον ἐστὶ τὸ αὐτό. δῆλον οὖν τὸ λεγόμενον ἐστιν ἐκ τοῦ προγεγραμμένου].

⌈ΠΟΡΙΣΜΑ β′⌉

Ἐκ τούτου δὲ φανερόν, ὅτι τὸ περιγεγραμμένον σχῆμα σὺν τῷ κώνῳ μεῖζόν ἐστι κώνου τοῦ βάσιν μὲν ἔχοντος τὸν κύκλον, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος τῆς ἐλάσσονος σφαίρας ἐπὶ τὴν περιφέρειαν ἠγμένῃ τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ τμήματος, ὕψος δὲ τῇ ἐκ τοῦ κέντρου· ὁ γὰρ ἴσος κῶνος τῷ σχήματι σὺν τῷ κώνῳ τὴν μὲν βάσιν μείζονα ἕξει τοῦ εἰρημένου κύκλου, τὸ δὲ ὕψος ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας.



⌈Porisma 1⌉

La figura circumscrita al voltant del sector amb el con base del qual és un cercle al voltant d'un diàmetre ΚΛ, i vèrtex el centre, també resulta, doncs, igual a un con base del qual és igual a la superfície de la figura mentre que altura, a una recta conduïda perpendicular des del centre sobre el costat [que, doncs, és igual al radi de l'esfera, ja que la figura circumscrita al sector està inscrita en el segment de l'esfera més gran, el centre de la qual és el mateix. Així, doncs, és evident que el que s'ha dit és així arran d'allò mencionat abans.]

⌈Porisma 2⌉

I, arran d'això, és clar que la figura circumscrita amb el con és més gran que un con que té base el cercle el radi del qual és igual a una recta conduïda des del vèrtex del segment de l'esfera més petita fins a la circumferència del cercle que és base del segment, mentre que altura, igual al radi. En efecte, el con igual a la figura amb el con tindrà la base més gran que el cercle esmentat mentre que l'altura, igual al radi de l'esfera més petita.



⌈μα′⌉

Ἔστω πάλιν σφαῖρα καὶ ἐν αὐτῇ μέγιστος κύκλος καὶ τμῆμα ἔλασσον ἡμικυκλίου τὸ ΑΒΓ καὶ κέντρον τὸ Δ, καὶ εἰς τὸν ΑΒΓ τομέα ἐγγεγράφθω πολύγωνον ἀρτιόγωνον, καὶ τούτῳ ὅμοιον περιγεγράφθω, καὶ παράλληλοι ἔστωσαν αἱ πλευραὶ ταῖς πλευραῖς, καὶ κύκλος περιγεγράφθω περὶ τὸ περιγεγραμμένον πολύγωνον, καὶ ὁμοίως τοῖς πρότερον μενούσης τῆς ΗΒ περιενεχθέντες οἱ κύκλοι ποιείτωσαν σχήματα ὑπὸ κωνικῶν ἐπιφανειῶν περιεχόμενα. δεικτέον, ὅτι ἡ τοῦ περιγεγραμμένου σχήματος ἐπιφάνεια πρὸς τὴν τοῦ ἐγγεγραμμένου σχήματος ἐπιφάνειαν διπλασίονα λόγον ἔχει ἢ ἡ πλευρὰ ἡ τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου πολυγώνου, τὸ δὲ σχῆμα σὺν τῷ κώνῳ τριπλασίονα λόγον ἔχει τοῦ αὐτοῦ.

ἔστω γὰρ ὁ Μ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴσον δύναται τῷ ὑπό τε μιᾶς πλευρᾶς τοῦ περιγεγραμμένου πολυγώνου καὶ πασῶν τῶν ἐπιζευγνυουσῶν τὰς γωνίας καὶ ἔτι τῆς ἡμισείας τῆς ΕΖ. ἔσται δὴ ὁ Μ κύκλος ἴσος τῇ ἐπιφανείᾳ τοῦ περιγεγραμμένου σχήματος. εἰλήφθω δὴ καὶ ὁ Ν κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴσον δύναται τῷ περιεχομένῳ ὑπό τε μιᾶς πλευρᾶς τοῦ ἐγγεγραμμένου πολυγώνου καὶ πασῶν τῶν ἐπιζευγνυουσῶν τὰς γωνίας σὺν τῇ ἡμισείᾳ τῆς ΑΓ. ἔσται δὴ καὶ οὗτος ἴσος τῇ ἐπιφανείᾳ τοῦ ἐγγεγραμμένου σχήματος. ἀλλὰ τὰ εἰρημένα χωρία ἐστὶ πρὸς ἄλληλα, ὡς τὸ ἀπὸ τῆς ΕΚ πλευρᾶς πρὸς τὸ ἀπὸ τῆς ΑΛ πλευρᾶς [καὶ ὡς ἄρα τὸ πολύγωνον πρὸς τὸ πολύγωνον, ὁ Μ κύκλος πρὸς τὸν Ν κύκλον]. φανερὸν οὖν, ὅτι καὶ ἡ ἐπιφάνεια τοῦ περιγεγραμμένου σχήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐγγεγραμμένου σχήματος διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΚ πρὸς ΑΛ [τὸν δὲ αὐτόν, ὃν καὶ τὸ πολύγωνον].



⌈41⌉

Heus aquí, al seu torn, una esfera i, en aquesta <esfera>, un cercle màxim, un segment més petit que un semicercle ΑΒΓ, i el centre Δ. Al sector ΑΒΓ hi estigui inscrit un polígon d'un nombre parell d'angles, hi estigui circumscrit un <polígon> semblant a aqueix, i els costats siguin paral·lels als costats. Un cercle estigui circumscrit al voltant del polígon circumscrit. D'una manera semblant a les d'abans, mantenint-se fixa ΗΒ, els cercles, mentre són transportats al seu voltant, facin unes figures compreses per superfícies còniques. S'ha de provar que la superfície de la figura circumscrita respecte de la superfície de la figura inscrita, té una raó duple que el costat del polígon circumscrit respecte del costat del polígon inscrit, i la figura, juntament amb el con, té una raó triple d'aquesta mateixa <raó>.

En efecte, heus aquí el cercle Μ el radi del qual pot igual al rectangle comprès tant per un costat del polígon circumscrit com per totes les rectes que uneixen els angles i, a més, la meitat d'ΕΖ. Serà, doncs, el cercle Μ igual a la superfície de la figura circumscrita. Estigui pres, doncs, també el cercle Ν el radi del qual pot igual al rectangle comprès tant per un costat del polígon inscrit com per totes les rectes que uneixen els angles amb la meitat d'ΑΓ. Serà, doncs, aqueix <cercle> també igual a la superfície de la figura inscrita. Tanmateix, les àrees esmentades són, l'una respecte de l'altra, com el quadrat a partir del costat ΕΚ respecte del quadrat a partir del costat ΑΛ [per tant, com el polígon respecte del polígon, també el cercle Μ respecte del cercle Ν]. Així, doncs, és clar que la superfície de la figura circumscrita respecte de la superfície de la figura inscrita també té una raó duple que ΕΚ respecte d'ΑΛ [i la mateixa que també té el polígon].



ἔστω πάλιν κῶνος ὁ Ξ βάσιν μὲν ἔχων τῷ Μ ἴσην, ὕψος δὲ τὴν ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας. ἴσος δὴ οὗτος ἐστιν ὁ κῶνος τῷ περιγεγραμμένῳ σχήματι σὺν τῷ κώνῳ, οὗ βάσις ὁ περὶ τὴν ΕΖ κύκλος, κορυφὴ δὲ τὸ Δ. καὶ ἔστω ἄλλος κῶνος ὁ Ο βάσιν μὲν ἴσην ἔχων τῷ Ν, ὕψος δὲ τὴν ἀπὸ τοῦ Δ ἐπὶ τὴν ΑΛ κάθετον ἠγμένην· ἔσται δὴ καὶ οὗτος ἴσος τῷ ἐγγεγραμμένῳ σχήματι σὺν τῷ κώνῳ, οὗ βάσις ὁ περὶ διάμετρον τὴν ΑΓ κύκλος, κορυφὴ δὲ τὸ Δ κέντρον. ταῦτα γὰρ πάντα προγέγραπται. καὶ [ἐπεί] ἐστιν, ὡς ἡ ΕΚ πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας, οὕτως ἡ ΑΛ πρὸς τὴν ἀπὸ τοῦ κέντρου [τοῦ Δ] ἐπὶ τὴν ΑΛ κάθετον ἠγμένην, ἐδείχθη δέ, ὡς ἡ ΕΚ πρὸς τὴν ΑΛ, οὕτως ἡ ἐκ τοῦ κέντρου τοῦ Μ κύκλου πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ Ν κύκλου [καὶ ἡ διάμετρος πρὸς τὴν διάμετρον]. ἔσται ἄρα, ὡς ἡ διάμετρος τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ Ξ, πρὸς τὴν διάμετρον τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ Ο, οὕτως τὸ ὕψος τοῦ Ξ κώνου πρὸς τὸ ὕψος τοῦ Ο κώνου [ὅμοιοι ἄρα εἰσὶν οἱ κῶνοι]. ὁ Ξ ἄρα κῶνος πρὸς τὸν Ο κῶνον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ διάμετρος πρὸς τὴν διάμετρον. φανερὸν οὖν, ὅτι καὶ τὸ σχῆμα τὸ περιγεγραμμένον σὺν τῷ κώνῳ πρὸς τὸ ἐγγεγραμμένον σὺν τῷ κώνῳ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΚ πρὸς ΑΛ.

⌜μβ´⌝

Παντὸς τμήματος σφαίρας ἐλάσσονος ἡμισφαιρίου ἡ ἐπιφάνεια ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος ἐπὶ τὴν περιφέρειαν ἠγμένῃ τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ τμήματος τῆς σφαίρας.



ἔστω σφαῖρα καὶ μέγιστος ἐν αὐτῇ κύκλος ὁ ΑΒΓ καὶ τμῆμα ἐν αὐτῇ ἔλασσον ἡμι-

Heus aquí, al seu torn, un con Ξ que té base igual a M mentre que altura el radi de l'esfera més petita. Aqueix con, doncs, és igual a la figura circumscrita amb el con base del qual és un cercle al voltant d'EZ, i vèrtex Δ. I heus aquí un altre con O que té base igual a N mentre que altura una recta conduïda perpendicular des de Δ fins a ΑΛ. També serà, doncs, aqueix <cercle> igual a la figura inscrita amb el con base del qual és un cercle al voltant d'un diàmetre ΑΓ, i vèrtex el centre Δ, ja que tot això ja ha estat mencionat abans. I [atès que], com EK respecte del radi de l'esfera més petita, així és ΑΛ respecte d'una recta conduïda perpendicular des del centre [Δ] fins a ΑΛ, però fou provat que, com EK respecte d'ΑΛ, així el radi del cercle M respecte del radi del cercle N [i el diàmetre respecte del diàmetre], per tant, com el diàmetre del cercle que és base de Ξ respecte del diàmetre del cercle que és base d'O, així serà l'altura del con Ξ respecte de l'altura del con O [per tant, els cons són semblants]. Per tant, el con Ξ respecte del con O té una raó triple que el diàmetre respecte del diàmetre. Així, doncs, és clar que també la figura circumscrita amb el con respecte de la inscrita amb el con té una raó triple que EK respecte d'ΑΛ.

[42]

La superfície de tot segment d'esfera més petit que un hemisferi és igual a un cercle el radi del qual és igual a una recta conduïda des del vèrtex del segment fins a la circumferència del cercle que és base del segment de l'esfera.



Heus aquí una esfera i, en aquesta <esfera>, un cercle màxim ΑΒΓ i, en aquesta σφαιρίου, οὗ βάσις ὁ περὶ τὴν ΑΓ κύκλος πρὸς ὀρθὰς ὢν τῷ ΑΒΓ κύκλῳ, καὶ εἰλήφθω κύκλος ὁ Ζ, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΑΒ. δεῖ δὴ δεῖξαι, ὅτι ἡ ἐπιφάνεια τοῦ ΑΒΓ τμήματος ἴση ἐστὶ τῷ Ζ κύκλῳ.

εἰ γὰρ μή, ἔστω μείζων ἡ ἐπιφάνεια τοῦ Ζ κύκλου, καὶ εἰλήφθω τὸ Δ κέντρον, καὶ ἀπὸ τοῦ Δ ἐπὶ τὰ Α, Γ ἐπιζευχθεῖσαι ἐκβεβλήσθωσαν. καὶ δύο μεγεθῶν ἀνίσων ὄντων, τῆς τε ἐπιφανείας τοῦ τμήματος καὶ τοῦ Ζ κύκλου, ἐγγεγράφθω εἰς τὸν ΑΒΓ τομέα πολύγωνον ἰσόπλευρον καὶ ἀρτιογώνιον, καὶ ἄλλο τούτῳ ὅμοιον περιγεγράφθω, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν ἤπερ ἡ ἐπιφάνεια τοῦ τμήματος τῆς σφαίρας πρὸς τὸν Ζ κύκλον, περιενεχθέντος δὲ τοῦ κύκλου, ὡς καὶ πρότερον, ἔσται δύο σχήματα ὑπὸ κωνικῶν ἐπιφανειῶν περιεχόμενα, ὧν τὸ μὲν περιγεγραμμένον, τὸ δὲ ἐγγεγραμμένον, καὶ ἡ τοῦ περιγεγραμμένου σχήματος ἐπιφάνεια πρὸς τὴν τοῦ ἐγγεγραμμένου ἔσται, ὡς τὸ περιγεγραμμένον πολύγωνον πρὸς τὸ ἐγγεγραμμένον· ἑκάτερος γὰρ τῶν λόγων διπλάσιός ἐστι τοῦ, ὃν ἔχει ἡ τοῦ περιγεγραμμένου πολυγώνου πλευρὰ πρὸς τὴν τοῦ ἐγγεγραμμένου πλευράν. ἀλλὰ τὸ περιγεγραμμένον πολύγωνον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ τοῦ εἰρημένου τμήματος ἐπιφάνεια πρὸς τὸν Ζ κύκλον, μείζων δέ ἐστιν ἡ τοῦ περιγεγραμμένου σχήματος ἐπιφάνεια τῆς ἐπιφανείας τοῦ τμήματος· καὶ ἡ τοῦ ἐγγεγραμμένου σχήματος ἐπιφάνεια ἄρα μείζων ἐστὶ τοῦ Ζ κύκλου· ὅπερ ἀδύνατον· δέδεικται γὰρ ἡ εἰρημένη τοῦ σχήματος ἐπιφάνεια ἐλάσσων οὖσα τοῦ τηλικούτου κύκλου.

ἔστω πάλιν ὁ κύκλος μείζων τῆς ἐπιφανειας, καὶ περιγεγράφθω καὶ ἐγγεγράφθω ὅμοια πολύγωνα, καὶ τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἐχέτω τοῦ, ὃν ἔχει ὁ κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ τμήματος. οὐκ ἄρα μείζων ἡ ἐπιφάνεια τοῦ Ζ κύκλου. ἐδείχθη δέ, ὡς οὐδὲ ἐλάσσων. ἴση ἄρα.

⌈μγ′⌉

Καὶ ἐὰν μεῖζον ἡμισφαιρίου ᾖ τμῆμα, ὁμοίως αὐτοῦ ἡ ἐπιφάνεια ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἔσται τῇ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν περιφέρειαν ἠγμένῃ τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ τμήματος.

ἔστω γὰρ σφαῖρα καὶ ἐν αὐτῇ μέγιστος κύκλος, καὶ νοείσθω τετμημένη ἐπιπέδῳ ὀρθῷ τῷ κατὰ τὴν ΑΔ, καὶ τὸ ΑΒΔ ἔλασσον ἔστω ἡμισφαιρίου, καὶ διάμετρος ἡ ΒΓ πρὸς ὀρθὰς τῇ ΑΔ, καὶ ἀπὸ τῶν Β, Γ ἐπὶ τὸ Α ἐπεζεύχθωσαν αἱ ΒΑ, ΑΓ, καὶ ἔστω ὁ μὲν Ε κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΑΒ, ὁ δὲ Ζ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΑΓ, ὁ δὲ Η κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΒΓ· καὶ ὁ

<esfera>, un segment més petit que un hemisferi base del qual és un cercle al voltant d'ΑΓ, ortogonal al cercle ΑΒΓ. Estigui pres un cercle Ζ el radi del qual és igual a ΑΒ. Cal provar, doncs, que la superfície del segment ΑΒΓ és igual al cercle Ζ.

En efecte, si no, heu-la aquí més gran, la superfície que el cercle Ζ. Estigui pres el centre Δ, i estiguin allargades unes rectes unides des de Δ fins a Α, Γ. Havent-hi dues magnituds desiguals, tant la superfície del segment com el cercle Ζ, estigui inscrit al sector ΑΒΓ un polígon equilàter i d'un nombre parell de costats, i n'hi hem circumscrit un altre de semblant a aqueix, de manera que el circumscrit respecte de l'inscrit tingui una raó més petita que la superfície del segment de l'esfera respecte del cercle Ζ. Però, un cop transportat un cercle al voltant, també com abans, hi haurà dues figures compreses per superfícies còniques, de les quals, una circumscrita mentre que l'altra, inscrita, i la superfície de la figura circumscrita respecte de la inscrita serà com el polígon circumscrit respecte de l'inscrit, ja que cadascuna de les raons és doble de la que té el costat del polígon circumscrit respecte del costat de l'inscrit. Tanmateix, el polígon circumscrit respecte de l'inscrit té una raó més petita que la superfície del segment esmentat respecte del cercle Ζ. Però la superfície de la figura circumscrita és més gran que la superfície del segment. La superfície de la figura inscrita, per tant, també és més gran que el cercle Ζ, cosa que és precisament impossible, ja que ha estat provat que la superfície esmentada de la figura és més petita que un cercle tal.

Heus aquí, al seu torn, el cercle més gran que la superfície. Hi estiguin circumscrit i inscrit polígons semblants, i que el circumscrit respecte de l'inscrit tingui una raó més petita que la que té el cercle respecte de la superfície del segment. No es dóna el cas, per tant, que la superfície és més gran que el cercle Ζ. Però fou provat que tampoc més petita. Per tant, igual.

⌈43⌉

I sempre que un segment sigui més gran que un hemisferi, d'una manera semblant, la superfície d'aquest <segment> és igual a un cercle el radi del qual haurà de ser igual a una recta conduïda des del vèrtex fins a la circumferència del cercle que és base del segment.

En efecte, heus aquí una esfera i en aquesta <esfera> un cercle màxim, i sigui considerada tallada amb un pla ortogonal per ΑΔ. ΑΒΔ sigui més petit que un hemisferi i un diàmetre ΒΓ ortogonal a ΑΔ. Estiguin unides ΒΑ, ΑΓ des de Β, Γ fins a Α. Heus aquí el cercle Ε el radi del qual és igual a ΑΒ, mentre que el cercle Ζ el radi del qual és igual a ΑΓ, i el cercle Η el radi del qual és igual a ΒΓ. Per

Η κύκλος ἄρα ἴσος ἐστὶ τοῖς δυσὶ κύκλοις τοῖς Ε, Ζ. ὁ δὲ Η κύκλος ἴσος ἐστὶν ὅλῃ τῇ ἐπιφανειᾳ τῆς σφαίρας [ἐπειδήπερ ἑκατέρα τετραπλασία ἐστὶ τοῦ περὶ διάμετρον τὴν ΒΓ κύκλου], ὁ δὲ Ε κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΑΒΔ τμήματος [δέδεικται γὰρ τοῦτο ἐπὶ τοῦ ἐλάσσονος ἡμισφαιρίου]. λοιπὸς ἄρα ὁ Ζ κύκλος ἴσος ἐστὶ τῇ τοῦ ΑΓΔ τμήματος ἐπιφανειᾳ, ὃ δή ἐστι μεῖζον ἡμισφαιρίου.



⌜μδ′⌝

Παντὶ τομεῖ σφαίρας ἴσος ἐστὶ κῶνος ὁ βάσιν μὲν ἔχων ἴσην τῇ ἐπιφανείᾳ τοῦ τμήματος τῆς σφαίρας τοῦ κατὰ τὸν τομέα, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας.

ἔστω σφαῖρα καὶ ἐν αὐτῇ μέγιστος κύκλος ὁ ΑΒΔ καὶ κέντρον τὸ Γ καὶ κῶνος ὁ βάσιν μὲν ἔχων τὸν κύκλον τὸν ἴσον τῇ κατὰ τὴν ΑΒΔ περιφέρειαν ἐπιφανείᾳ, ὕψος δὲ ἴσον τῇ ΒΓ· δεικτέον, ὅτι ὁ τομεὺς ὁ ΑΒΓΔ ἴσος ἐστὶ τῷ εἰρημένῳ κώνῳ.

εἰ γὰρ μή, ἔστω μείζων ὁ τομεὺς τοῦ κώνου, καὶ κείσθω ὁ Θ κῶνος, οἷον εἴρηται. δύο δὴ μεγεθῶν ἀνίσων ὄντων, τοῦ τομέως καὶ τοῦ Θ κώνου, εὑρήσθωσαν δύο γραμμαὶ αἱ Δ, Ε, μείζων δὲ ἡ Δ τῆς Ε, καὶ ἐλάσσονα λόγον ἐχέτω ἡ Δ πρὸς Ε ἤπερ ὁ τομεὺς πρὸς τὸν κῶνον, καὶ εἰλήφθωσαν δύο γραμμαὶ αἱ Ζ, Η, ὅπως τῷ ἴσῳ ὑπερέχῃ ἡ Δ τῆς Ζ καὶ ἡ Ζ τῆς Η καὶ ἡ Η τῆς Ε, καὶ περὶ τὸν ἐπίπεδον τομέα τοῦ κύκλου περιγεγράφθω tant, el cercle H també és igual als dos cercles E, Z. Però el cercle H és igual a la totalitat de la superfície de l'esfera [car cadascuna és precisament el quàdruple d'un cercle al voltant d'un diàmetre ΒΓ], i el cercle E és igual a la superfície del segment ΑΒΔ [ja que això ha estat provat sobre el segment més petit que un hemisferi]. Per tant, el cercle restant, Z, és igual a la superfície del segment ΑΓΔ, que és més gran, doncs, que un hemisferi.



⌈44⌉

A tot sector d'esfera és igual un con que té base igual a la superfície del segment de l'esfera pel sector, mentre que altura igual al radi de l'esfera.

Heus aquí una esfera, en aquesta <esfera> un cercle màxim ΑΒΔ i centre Γ, i un con que té base el cercle igual a la superfície per la circumferència ΑΒΔ, mentre que altura igual a ΒΓ. S'ha de provar que el sector ΑΒΓΔ és igual al con esmentat.

En efecte, si no, heu-lo aquí més gran, el sector que el con. Estigui posat el con Θ tal com s'ha dit. Havent-hi, doncs, dues magnituds desiguals, el sector i el con Θ, estiguin trobades dues línies Δ, E, més gran Δ que E, i Δ respecte d'E tingui una raó més petita que el sector respecte del con. Estiguin preses dues línies Z, H, de tal manera que en la mateixa <quantitat>, Δ superi Z, Z superi H, πολύγωνον ἰσόπλευρον καὶ ἀρτιογώνιον, καὶ τούτῳ ὅμοιον ἐγγεγράφθω, ὅπως ἡ τοῦ περιγεγραμμένου πλευρὰ ἐλάσσονα λόγον ἔχῃ πρὸς τὴν τοῦ ἐγγεγραμμένου τοῦ, ὃν ἔχει ἡ Δ πρὸς Ζ, καὶ ὁμοίως τοῖς πρότερον περιενεχθέντος τοῦ κύκλου γεγενήσθω δύο σχήματα ὑπὸ κωνικῶν ἐπιφανειῶν περιεχόμενα. τὸ ἄρα περιγεγραμμένον σὺν τῷ κώνῳ τῷ κορυφὴν ἔχοντι τὸ Γ σημεῖον πρὸς τὸ ἐγγεγραμμένον σὺν τῷ κώνῳ τριπλασίονα λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ πλευρὰ τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου. ἀλλὰ ἡ τοῦ περιγεγραμμένου ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ Δ πρὸς Ζ. ἐλάσσονα λόγον ἄρα ἕξει ἢ τριπλάσιον τὸ εἰρημένον στερεόν σχῆμα τοῦ τῆς Δ πρὸς Ζ. ἡ δὲ Δ πρὸς Ε μείζονα λόγον ἔχει ἢ τριπλάσιον τοῦ τῆς Δ πρὸς Ζ. τὸ ἄρα περιγεγραμμένον σχῆμα στερεὸν τῷ τομεῖ πρὸς τὸ ἐγγεγραμμένον σχῆμα ἐλάσσονα λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ Δ πρὸς Ε. ἡ δὲ Δ πρὸς Ε ἐλάσσονα λόγον ἔχει ἢ ὁ στερεὸς τομεὺς πρὸς τὸν Θ κῶνον καὶ τὸ περιγεγραμμένον τῷ τομεῖ σχῆμα πρὸς τὸ ἐγγεγραμμένον. καὶ ἐναλλάξ μεῖζον δέ ἐστι τὸ περιγεγραμμένον στερεὸν σχῆμα τοῦ τμήματος καὶ τὸ ἐγγεγραμμένον ἄρα σχῆμα ἐν τῷ τομεῖ μεῖζόν ἐστι τοῦ Θ κώνου· ὅπερ ἀδύνατον· δέδεικται γὰρ ἐν τοῖς ἄνω ἔλασσον ὂν τοῦ τηλικούτου κώνου [τουτέστι τοῦ ἔχοντος βάσιν μὲν κύκλον, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος ἐπὶ τὴν περιφέρειαν ἐπιζευγνυμένῃ εὐθείᾳ τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ τμήματος, ὕψος δὲ τὴν ἐκ τοῦ κέντρου τῆς σφαίρας. οὗτος δέ ἐστιν ὁ εἰρημένος κῶνος ὁ Θ. βάσιν τε γὰρ ἔχει κύκλον ἴσον τῇ ἐπιφανείᾳ τοῦ τμήματος, τουτέστι τῷ εἰρημένῳ κύκλῳ, καὶ ὕψος ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας]. οὐκ ἄρα ὁ στερεὸς τομεὺς μείζων ἐστὶ τοῦ Θ κώνου.



i H superi E. Al voltant del sector pla del cercle hi estigui circumscrit un polígon equilàter i d'un nombre parell d'angles, i n'hi estigui inscrit un de semblant a aqueix, de tal manera que el costat del circumscrit tingui una raó més petita respecte del de l'inscrit que la que té Δ respecte de Z. I, d'una manera semblant a les <proposicions> d'abans, un cop transportat un cercle al voltant, heus aquí que ens n'ha resultat dues figures compreses per superfícies còniques. Per tant, la circumscrita amb el con que té vèrtex el punt Γ, respecte de la inscrita amb el con, té una raó triple que la que té el costat del polígon circumscrit respecte del costat de l'inscrit. Tanmateix, el del circumscrit té una raó més petita que Δ respecte de Z. Per tant, la figura sòlida esmentada tindrà una raó més petita que el triple de la raó de Δ respecte de Z. Però Δ respecte d'E té una raó més gran que el triple de la raó de Δ respecte de Z. Per tant, la figura sòlida circumscrita al sector respecte de la figura inscrita té una raó més petita que la que té Δ respecte d'E. Però Δ respecte d'E té una raó més petita que el sector sòlid respecte del con Θ, i la figura circumscrita al sector respecte de la inscrita. Per alternança, la figura sòlida circumscrita és més gran que el segment i, per tant, la figura inscrita en el sector és més gran que el con Θ, cosa que és precisament impossible, ja que ha estat provat en <les proposicions> de més amunt que és més petit que un tal con [és a dir, el que té base un cercle el radi del qual és igual a una recta unida des del vèrtex del segment fins a la circumferència del cercle que és base del segment, mentre que altura el radi de l'esfera. Però aqueix és el con esmentat Θ, ja que té base un cercle igual a la superfície del segment (és a dir, al cercle esmentat) i altura igual al radi de l'esfera]. Per tant, no es dóna el cas que el sector sòlid és més gran que el con Θ.



ἔστω δὴ πάλιν ὁ Θ κῶνος τοῦ στερεοῦ τομέως μείζων. πάλιν δὴ ὁμοίως ἡ Δ πρὸς τὴν Ε μείζων αὐτῆς οὖσα ἐλάσσονα λόγον ἐχέτω τοῦ, ὃν ἔχει ὁ κῶνος πρὸς τὸν τομέα, καὶ ὁμοίως εἰλήφθωσαν αἱ Ζ, Η, ὥστε εἶναι τὰς ὑπεροχάς τὰς αὐτάς, καὶ τοῦ περιγεγραμμένου περὶ τὸν ἐπίπεδον τομέα πολυγώνου ἀρτιογωνίου ἡ πλευρὰ πρὸς τὴν τοῦ ἐγγεγραμμένου ἐλάσσονα λόγον ἐχέτω τοῦ, ὃν ἔχει ἡ Δ πρὸς Ζ [καὶ γεγενήσθω τὰ περὶ τὸν στερεὸν τομέα στερεὰ σχήματα]. ὁμοίως οὖν δείξομεν, ὅτι τὸ περιγεγραμμένον περὶ τὸν τομέα στερεὸν σχῆμα πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ Δ πρὸς Ε, καὶ τοῦ, ὃν ἔχει ὁ Θ κῶνος πρὸς τὸν τομέα [ὥστε καὶ ὁ τομεὺς πρὸς τὸν κῶνον ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἐγγεγραμμένον στερεὸν ἐν τῷ τμήματι πρὸς τὸ περιγεγραμμένον]. μείζων δέ ἐστιν ὁ τομεὺς τοῦ ἐγγεγραμμένου εἰς αὐτὸν σχήματος· μείζων ἄρα ὁ Θ κῶνος τοῦ περιγεγραμμένου σχήματος· ὅπερ ἀδύνατον [δέδεικται γὰρ τοῦτο, ὅτι ὁ τηλικοῦτος κῶνος ἐλάσσων ἐστὶ τοῦ περιγεγραμμένου σχήματος περὶ τὸν τομέα]· ἴσος ἄρα ὁ τομεὺς τῷ Θ κώνῳ.

Heus aquí, doncs, al seu torn, el con Θ més gran que el sector sòlid. Al seu torn, d'una manera semblant, Δ respecte d'E (essent més gran que aquesta <darrera>) tingui, doncs, una raó més petita que la que té el con respecte del sector. D'una manera semblant, estiguin preses Z, H de manera que els excessos siguin els mateixos, i el costat d'un polígon d'un nombre parell de costats circumscrit al voltant del sector pla, respecte del de l'inscrit tingui una raó més petita que la que té Δ respecte de Z [i heus aquí que ens n'ha resultat les figures sòlides al voltant del sector pla]. Així, doncs, d'una manera semblant, provarem que la figura sòlida circumscrita al voltant del sector respecte de la inscrita té una raó més petita que la que té Δ respecte d'E, i que la que té el con Θ respecte del sector [de manera que el sector respecte del con també té una raó més petita que el sòlid inscrit en el segment respecte del circumscrit]. Però el sector és més gran que la figura inscrita a aquest <con>. Per tant, el con Θ és més gran que la figura circumscrita, cosa que és precisament impossible [ja que ha estat provat això: que un tal con és més petit que la figura circumscrita al voltant del sector]. Per tant, el sector és igual al con Θ.

Liber secundus

⌈χαίρειν⌉

Ἀρχιμήδης Δοσιθέῳ χαίρειν.

Πρότερον μὲν ἐπέστειλάς μοι γράψαι τῶν προβλημάτων τὰς ἀποδείξεις, ὧν αὐτὸς τὰς προτάσεις ἀπέστειλα Κόνωνι. συμβαίνει δὲ αὐτῶν τὰ πλεῖστα γράφεσθαι διὰ τῶν θεωρημάτων, ὧν πρότερον ἀπέστειλα σοι τὰς ἀποδείξεις, ὅτι τε πάσης σφαίρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶ τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ, καὶ διότι παντὸς τμήματος σφαίρας τῇ ἐπιφανείᾳ ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ εὐθείᾳ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος ἐπὶ τὴν περιφέρειαν τῆς βάσεως ἀγομένῃ, καὶ διότι πάσης σφαίρας ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων τὸν μέγιστον κύκλον τῶν ἐν τῇ σφαίρᾳ, ὕψος δὲ ἴσον τῇ διαμέτρῳ τῆς σφαίρας, αὐτός τε ἡμιόλιός ἐστι τῷ μεγέθει τῆς σφαίρας καὶ ἡ ἐπιφάνεια αὐτοῦ ἡμιολία τῆς ἐπιφανείας τῆς σφαίρας, καὶ διότι πᾶς τομεὺς στερεὸς ἴσος ἐστὶ κώνῳ τῷ βάσιν μὲν ἔχοντι τὸν κύκλον τὸν ἴσον τῇ ἐπιφανείᾳ τοῦ τμήματος τῆς σφαίρας τοῦ ἐν τῷ τομεῖ, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας. ὅσα μὲν οὖν τῶν θεωρημάτων καὶ προβλημάτων γράφεται διὰ τούτων τῶν θεωρημάτων, ἐν τῷδε τῷ βιβλίῳ γράψας ἀπέσταλκά σοι, ὅσα δὲ δι᾽ ἄλλης εὑρίσκονται θεωρίας, τά τε περὶ ἑλίκων καὶ τὰ περὶ τῶν κωνοειδῶν, πειράσομαι διὰ τάχους ἀποστεῖλαι.

⌈Salutació⌉

Arquimedes a Dositeu, salut

Em vas encomanar, anteriorment, que redactés les demostracions dels problemes, els enunciats dels quals jo mateix vaig enviar a Conó. I succeeix que la major part d'aquestes són redactades mitjançant aquests teoremes, les demostracions dels quals ja et vaig enviar anteriorment: que la superfície de tota esfera és el quàdruple del cercle màxim dels cercles en l'esfera; que a la superfície de tot segment d'esfera és igual un cercle el radi del qual és igual a una recta conduïda des del vèrtex del segment fins a la circumferència de la base; que el cilindre de tota esfera que té base el cercle màxim dels cercles en l'esfera mentre que altura igual al diàmetre de l'esfera, tant ell mateix és una hemiòlia de la magnitud de l'esfera com la seva superfície, una hemiòlia de la superfície de l'esfera; i tot sector sòlid és igual a un con que té base el cercle igual a la superfície del segment de l'esfera en el sector mentre que altura igual al radi de l'esfera. Així, doncs, tots i cadascun dels teoremes i dels problemes descrits amb l'ajut d'aquests teoremes te'ls he enviat redactats en aquest mateix llibre, mentre que tots els trobats amb l'ajut d'alguna altra teoria, tant els teoremes i els problemes sobre espirals com sobre els conoides, procuraré enviar-te'ls ràpid.

⌈0⌉

Τὸ δὲ πρῶτον ἦν τῶν προβλημάτων τόδε. σφαίρας δοθείσης ἐπίπεδον χωρίον εὑρεῖν ἴσον τῇ ἐπιφανείᾳ τῆς σφαίρας. ἔστιν δὲ τοῦτο φανερὸν δεδειγμένον ἐκ τῶν προειρημένων θεωρημάτων. τὸ γὰρ τετραπλάσιον τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ ἐπίπεδόν τε χωρίον ἐστὶ καὶ ἴσον τῇ ἐπιφανείᾳ τῆς σφαίρας.

⌈α′⌉

Τὸ δεύτερον ἦν· κώνου δοθέντος ἢ κυλίνδρου σφαῖραν εὑρεῖν τῷ κώνῳ ἢ τῷ κυλίνδρῳ ἴσην.

ἔστω διδόμενος κῶνος ἢ κύλινδρος ὁ Α καὶ τῷ Α ἴση ἡ Β σφαῖρα, καὶ κείσθω τοῦ Α κώνου ἢ κυλίνδρου ἡμιόλιος κύλινδρος ὁ ΓΖΔ, τῆς δὲ Β σφαίρας ἡμιόλιος κύλινδρος, οὗ βάσις ὁ περὶ διάμετρον τὴν ΗΘ κύκλος, ἄξων δὲ ὁ ΚΛ ἴσος τῇ διαμέτρῳ τῆς Β σφαίρας. ἴσος ἄρα ἐστὶν ὁ Ε κύλινδρος τῷ Κ κυλίνδρῳ [τῶν δὲ ἴσων κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν]. ὡς ἄρα ὁ Ε κύκλος πρὸς τὸν Κ κύκλον, τουτέστιν ὡς τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΗΘ, οὕτως ἡ ΚΛ πρὸς ΕΖ. ἴση δὲ ἡ ΚΛ τῇ ΗΘ [ὁ γὰρ ἡμιόλιος κύλινδρος τῆς σφαίρας ἴσον ἔχει τὸν ἄξονα τῇ διαμέτρῳ τῆς σφαίρας, καὶ ὁ Κ κύκλος μέγιστός ἐστι τῶν ἐν τῇ σφαίρᾳ] ὡς ἄρα τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΗΘ, οὕτως ἡ ΗΘ πρὸς τὴν ΕΖ. ἔστω τῷ ἀπὸ ΗΘ ἴσον τὸ ὑπὸ ΓΔ, ΜΝ· ὡς ἄρα ἡ ΓΔ πρὸς ΜΝ, οὕτως τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΗΘ, τουτέστιν ἡ ΗΘ πρὸς ΕΖ, καὶ ἐναλλάξ, ὡς ἡ ΓΔ πρὸς τὴν ΗΘ, οὕτως ἡ ΗΘ πρὸς τὴν ΜΝ καὶ ἡ ΜΝ πρὸς τὴν ΕΖ. καί ἐστιν δοθεῖσα ἑκατέρα τῶν ΓΔ, ΕΖ. δύο ἄρα δοθεισῶν εὐθειῶν τῶν ΓΔ, ΕΖ δύο μέσαι ἀνάλογόν εἰσιν αἱ ΗΘ, ΜΝ. δοθεῖσα ἄρα ἑκατέρα τῶν ΗΘ, ΜΝ.

συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως· ἔστω δὴ ὁ δοθεὶς κῶνος ἢ κύλινδρος ὁ Α· δεῖ δὴ τῷ Α κώνῳ ἢ κυλίνδρῳ ἴσην σφαῖραν εὑρεῖν.

ἔστω τοῦ Α κώνου ἢ κυλίνδρου ἡμιόλιος κύλινδρος, οὗ βάσις ὁ περὶ διάμετρον τὴν ΓΔ κύκλος, ἄξων δὲ ὁ ΕΖ, καὶ εἰλήφθω τῶν ΓΔ, ΕΖ δύο μέσαι ἀνάλογον αἱ ΗΘ, ΜΝ, ὥστε εἶναι, ὡς τὴν ΓΔ πρὸς τὴν ΗΘ, τὴν ΗΘ πρὸς τὴν ΜΝ καὶ τὴν ΜΝ πρὸς τὴν ΕΖ, καὶ νοείσθω κύλινδρος, οὗ βάσις ὁ περὶ διάμετρον τὴν ΗΘ κύκλος, ἄξων δὲ ὁ ΚΛ ἴσος τῇ ΗΘ διαμέτρῳ. λέγω δή, ὅτι ἴσος ἐστὶν ὁ Ε κύλινδρος τῷ Κ κυλίνδρῳ.

⌈0⌉

I el primer problema era aquest: donada una esfera, trobar una àrea plana igual a la superfície de l'esfera. Però això és clar, provat a partir dels teoremes esmentats abans, ja que el quàdruple del cercle màxim dels cercles en l'esfera és tant una àrea plana com igual a la superfície de l'esfera.

⌈1⌉

El segon era: donat un con o un cilindre, trobar una esfera igual al con o al cilindre.

Heus aquí un con o un cilindre A donat, i igual a A, l'esfera B. Estigui posat un cilindre ΓZΔ una hemiòlia del con o del cilindre A, i un cilindre una hemiòlia de l'esfera B base del qual és un cercle al voltant d'un diàmetre HΘ, i eix KΛ igual al diàmetre de l'esfera B. Per tant, el cilindre E és igual al cilindre K [i les bases dels cilindres iguals són inversament proporcionals a les altures]. Per tant, com el cercle E respecte del cercle K (és a dir, com el quadrat a partir de ΓΔ respecte del quadrat a partir d'HΘ), així KΛ respecte d'EZ. Però KΛ és igual a HΘ [ja que el cilindre una hemiòlia de l'esfera té l'eix igual al diàmetre de l'esfera, i K és un cercle màxim dels cercles en l'esfera]. Per tant, com el quadrat a partir de ΓΔ respecte del quadrat a partir d'HΘ, així HΘ respecte d'EZ. Heus aquí el rectangle comprès per ΓΔ, MN, igual al quadrat a partir d'HΘ. Per tant, com ΓΔ respecte de MN, així el quadrat a partir de ΓΔ respecte del quadrat a partir d'HΘ (és a dir, HΘ respecte d'EZ) i, per alternança, com ΓΔ respecte d'HΘ, així HΘ respecte de MN, i MN respecte d'EZ. I cadascuna de les dues rectes ΓΔ, EZ està donada. Per tant, donades dues rectes ΓΔ, EZ, dues mitjanes proporcionals són HΘ, MN. Per tant, cadascuna de les dues rectes HΘ, MN està donada.

El problema, doncs, el compondrem així: heus aquí, doncs, un con o un cilindre donat A. Cal, doncs, trobar un esfera igual al con o al cilindre A.

Heus aquí un cilindre una hemiòlia del con o del cilindre A. base del qual és un cercle al voltant d'un diàmetre ΓΔ, i eix EZ. Estiguin preses dues mitjanes proporcionals de ΓΔ, EZ, HΘ, MN, de manera que, com ΓΔ respecte d'HΘ, sigui HΘ respecte de MN, i MN respecte d'EZ. I sigui considerat un cilindre base del qual és un cercle al voltant d'un diàmetre HΘ, i eix KΛ és igual al diàmetre HΘ.

καὶ ἐπεί ἐστιν, ὡς ἡ ΓΔ πρὸς ΗΘ, ἡ ΜΝ πρὸς ΕΖ, καὶ ἐναλλάξ, καὶ ἴση ἡ ΗΘ τῇ ΚΛ [ὡς ἄρα ἡ ΓΔ πρὸς ΜΝ, τουτέστιν ὡς τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ ΗΘ, οὕτως ὁ Ε κύκλος πρὸς τὸν Κ κύκλον], ὡς ἄρα ὁ Ε κύκλος πρὸς τὸν Κ κύκλον, οὕτως ἡ ΚΛ πρὸς τὴν ΕΖ [τῶν ἄρα Ε, Κ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν]. ἴσος ἄρα ὁ Ε κύλινδρος τῷ Κ κυλίνδρῳ. ὁ δὲ Κ κύλινδρος τῆς σφαίρας, ἧς διάμετρος ἡ ΗΘ, ἡμιόλιός ἐστιν. καὶ ἡ σφαῖρα ἄρα, ἧς ἡ διάμετρος ἴση ἐστὶ τῇ ΗΘ, τουτέστιν ἡ Β, ἴση ἐστὶ τῷ Α κώνῳ ἢ κυλίνδρῳ.



⌈β′⌉

Παντὶ τμήματι τῆς σφαίρας ἴσος ἐστὶ κῶνος ὁ βάσιν μὲν ἔχων τὴν αὐτὴν τῷ τμήματι, ὕψος δὲ εὐθεῖαν, ἥτις πρὸς τὸ ὕψος τοῦ τμήματος τὸν αὐτὸν λόγον ἔχει, ὃν συναμ-

Jo dic, doncs, que el cilindre E és igual al cilindre K.

I, atès que, com ΓΔ respecte d'ΗΘ, és MN respecte d'EZ i, per alternança, també ΗΘ igual a ΚΛ [per tant, com ΓΔ respecte de MN (és a dir, com el quadrat a partir de ΓΔ respecte del quadrat a partir d'ΗΘ), així el cercle E respecte del cercle K], per tant, com el cercle E respecte del cercle K, així ΚΛ respecte d'EZ [per tant, les bases dels cilindres E, K són inversament proporcionals a les altures]. Per tant, el cilindre E és igual al cilindre K. Però el cilindre K és una hemiòlia de l'esfera un diàmetre de la qual és ΗΘ. I, per tant, l'esfera el diàmetre de la qual és igual a ΗΘ (és a dir, B) és igual al con o al cilindre A.



[2]

A tot segment d'esfera és igual un con que té base la mateixa que el segment mentre que altura una recta que respecte de l'altura del segment té la mateixa raó φότερος ἥ τε ἐκ τοῦ κέντρου τῆς σφαίρας καὶ τὸ ὕψος τοῦ λοιποῦ τμήματος πρὸς τὸ ὕψος τοῦ λοιποῦ τμήματος.

ἔστω σφαῖρα, ἐν ᾗ μέγιστος κύκλος, οὗ διάμετρος ἡ ΑΓ, καὶ τετμήσθω ἐπιπέδῳ ἡ σφαῖρα τῷ διὰ τῆς ΒΖ πρὸς ὀρθὰς τῇ ΑΓ, καὶ ἔστω κέντρον τὸ Θ, καὶ πεποιήσθω, ὡς συναμφότερος ἡ ΘΑ, ΑΕ πρὸς τὴν ΑΕ, οὕτως ἡ ΔΕ πρὸς ΓΕ, καὶ πάλιν πεποιήσθω, ὡς συναμφότερος ἡ ΘΓ, ΓΕ πρὸς ΓΕ, οὕτως ἡ ΚΕ πρὸς ΕΑ, καὶ ἀναγεγράφθωσαν κῶνοι ἀπὸ τοῦ κύκλου τοῦ περὶ διάμετρον τὴν ΒΖ κορυφὰς ἔχοντες τὰ Κ, Δ σημεῖα· λέγω, ὅτι ἴσος ἐστὶν ὁ μὲν ΒΔΖ κῶνος τῷ κατὰ τὸ Γ τμήματι τῆς σφαίρας, ὁ δὲ ΒΚΖ τῷ κατὰ τὸ Α σημεῖον.

ἐπεζεύχθωσαν γὰρ αἱ ΒΘ, ΘΖ, καὶ νοείσθω κῶνος βάσιν μὲν ἔχων τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον, κορυφὴν δὲ τὸ Θ σημεῖον, καὶ ἔστω κῶνος ὁ Μ βάσιν ἔχων κύκλον ἴσον τῇ ἐπιφανείᾳ τοῦ ΒΓΖ τμήματος τῆς σφαίρας, τουτέστιν οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΒΓ, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας. ἔσται δὴ ὁ Μ κῶνος ἴσος τῷ ΒΓΘΖ στερεῷ τομεῖ· [τοῦτο γὰρ δέδεικται ἐν τῷ πρώτῳ βιβλίῳ]. ἐπεὶ δέ ἐστιν, ὡς ἡ ΔΕ πρὸς ΕΓ, οὕτως συναμφότερος ἡ ΘΑ, ΑΕ πρὸς ΑΕ, διελόντι ἔσται, ὡς ἡ ΓΔ πρὸς ΓΕ, οὕτως ἡ ΘΑ πρὸς ΑΕ, τουτέστιν ἡ ΓΘ πρὸς ΑΕ, καὶ ἐναλλάξ, ὡς ἡ ΔΓ πρὸς ΓΘ ἐστιν, οὕτως ἡ ΓΕ πρὸς ΕΑ, καὶ συνθέντι, ὡς ἡ ΘΔ πρὸς ΘΓ, ἡ ΓΑ πρὸς ΑΕ, τουτέστι τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΕ· ὡς ἄρα ἡ ΔΘ πρὸς ΓΘ, τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΕ. ἴση δέ ἐστιν ἡ ΓΒ τῇ ἐκ τοῦ κέντρου τοῦ Μ κύκλου, ἡ δὲ ΒΕ ἐκ τοῦ κέντρου ἐστὶ τοῦ περὶ διάμετρον τὴν ΒΖ κύκλου· ὡς ἄρα ἡ ΔΘ πρὸς ΘΓ, ὁ Μ κύκλος πρὸς τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον. καί ἐστιν ἴση ἡ ΘΓ τῷ ἄξονι τοῦ Μ κώνου. καὶ ὡς ἄρα ἡ ΔΘ πρὸς τὸν ἄξονα τοῦ Μ κώνου, οὕτως ὁ Μ κύκλος πρὸς τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον· ἴσος ἄρα ὁ κῶνος ὁ βάσιν μὲν ἔχων τὸν Μ κύκλον, ὕψος δὲ τὴν ἐκ τοῦ κέντρου τῆς σφαίρας, τῷ ΒΔΖΘ στερεῷ ῥόμβῳ [τοῦτο γὰρ ἐν τοῖς λήμμασι τοῦ πρώτου βιβλίου δέδεικται. ἢ οὕτως.] [ἐπεί ἐστιν, ὡς ἡ ΔΘ πρὸς τὸ ὕψος τοῦ Μ κώνου, οὕτως ὁ Μ κύκλος πρὸς τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον, ἴσος ἄρα ἐστὶν ὁ Μ κῶνος τῷ κώνῳ, οὗ βάσις μὲν ὁ περὶ διάμετρον τὴν ΒΖ κύκλος, ὕψος δὲ ἡ ΔΘ·] [ἀντιπεπόνθασι γὰρ αὐτῶν αἱ βάσεις τοῖς ὕψεσιν. ἀλλ᾽ ὁ κῶνος ὁ βάσιν μὲν ἔχων τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον, ὕψος δὲ τὴν ΔΘ, ἴσος ἐστὶ τῷ ΒΔΖΘ στερεῷ ῥόμβῳ]. ἀλλ᾽ ὁ Μ κῶνος ἴσος ἐστὶ τῷ ΒΓΖΘ στερεῷ τομεῖ. καὶ ὁ ΒΓΖΘ στερεὸς τομεὺς ἄρα ἴσος ἐστὶ τῷ ΒΔΖΘ στερεῷ ῥόμβῳ. κοινοῦ ἀφαιρεθέντος τοῦ κώνου, οὗ βάσις μέν ἐστιν ὁ περὶ διάμετρον τὴν ΒΖ κύκλος, ὕψος δὲ ἡ ΕΘ, λοιπὸς ἄρα ὁ ΒΔΖ κῶνος ἴσος ἐστὶ τῷ ΒΖΓ τμήματι τῆς σφαίρας.

ὁμοίως δὲ δειχθήσεται καὶ ὁ ΒΚΖ κῶνος ἴσος τῷ ΒΑΖ τμήματι τῆς σφαίρας. ἐπεὶ γάρ ἐστιν, ὡς συναμφότερος ἡ ΘΓΕ πρὸς ΓΕ, οὕτως ἡ ΚΕ πρὸς ΕΑ, διελόντι ἄρα, ὡς ἡ ΚΑ πρὸς ΑΕ, οὕτως ἡ ΘΓ πρὸς ΓΕ. ἴση δὲ ἡ ΘΓ τῇ ΘΑ καὶ ἐναλλὰξ ἄρα ἐστίν, ὡς ἡ ΚΑ πρὸς ΑΘ, οὕτως ἡ ΑΕ πρὸς ΕΓ. ὥστε καὶ συνθέντι, ὡς ἡ ΚΘ πρὸς ΘΑ, ἡ ΑΓ πρὸς ΓΕ, τουτέστι τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΒΕ. κείσθω δὴ πάλιν κύκλος ὁ Ν ἴσην ἔχων τὴν ἐκ τοῦ κέντρου τῇ ΑΒ. ἴσος ἄρα ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΒΑΖ τμήματος. καὶ que, tant el radi de l'esfera com l'altura de la resta del segment, conjuntament, respecte de l'altura de la resta del segment.

Heus aquí una esfera en la qual hi ha un cercle màxim un diàmetre del qual és ΑΓ. Estigui tallada l'esfera amb un pla per ΒΖ, ortogonal a ΑΓ. Heus aquí el centre Θ. I com ΘΑ, ΑΕ, conjuntament, respecte d'ΑΕ, així estigui feta ΔΕ respecte de ΓΕ. I, al seu torn, com ΘΓ, ΓΕ, conjuntament, respecte de ΓΕ, així estigui feta ΚΕ respecte d'ΕΑ. Estiguin aixecats uns cons des d'un cercle al voltant d'un diàmetre ΒΖ, que tenen vèrtexs els punts Κ, Δ. Jo dic que el con ΒΔΖ és igual al segment de l'esfera per Γ, mentre que ΒΚΖ, al segment pel punt Α.

En efecte, estiguin unides ΒΘ, ΘΖ, i sigui considerat un con que té base un cercle al voltant d'un diàmetre ΒΖ mentre que vèrtex el punt Θ. Heus aquí un con Μ que té base un cercle igual a la superfície del segment de l'esfera ΒΓΖ (és a dir, el radi del qual és igual a ΒΓ), i altura igual al radi de l'esfera. Serà, doncs, el con Μ igual al sector sòlid ΒΓΘΖ [ja que això ha estat provat en el llibre primer.] Però, atès que, com ΔΕ respecte d'ΕΓ, així és ΘΑ, ΑΕ, conjuntament, respecte d'ΑΕ, per divisió, com ΓΔ respecte de ΓΕ, així serà ΘΑ respecte d'ΑΕ (és a dir, ΓΘ respecte d'ΑΕ) i, per alternança, com ΔΓ respecte de ΓΘ, així és ΓΕ respecte d'ΕΑ i, per composició, com ΘΔ respecte de ΘΓ, ΓΑ respecte d'ΑΕ (és a dir, el quadrat a partir de ΓΒ respecte del quadrat a partir de ΒΕ), per tant, com ΔΘ respecte de ΓΘ, el quadrat a partir de ΓΒ respecte del quadrat a partir de ΒΕ. Però ΓΒ és igual al radi del cercle Μ, i ΒΕ és radi d'un cercle al voltant d'un diàmetre ΒΖ. Per tant, com ΔΘ respecte de ΘΓ, el cercle Μ respecte d'un cercle al voltant d'un diàmetre ΒΖ, i ΘΓ és igual a l'eix del con Μ. Per tant, com ΔΘ respecte de l'eix del con Μ, així el cercle Μ respecte d'un cercle al voltant d'un diàmetre ΒΖ. Per tant, el con que té base el cercle Μ i mentre que altura el radi de l'esfera, és igual al rombe sòlid ΒΔΖΘ [ja que això ha estat provat en els lemes del primer llibre. O així: atès que, com ΔΘ respecte de l'altura del con Μ, així és el cercle Μ respecte d'un cercle al voltant d'un diàmetre ΒΖ, per tant, el con Μ és igual al con base del qual és un cercle al voltant d'un diàmetre ΒΖ mentre que altura, ΔΘ, ja que les seves bases són inversament proporcionals a les altures. Tanmateix, el con que té base un cercle al voltant d'un diàmetre ΒΖ mentre que altura ΔΘ, és igual al rombe sòlid ΒΔΖΘ]. Tanmateix, el con Μ és igual al sector sòlid ΒΓΖΘ. Per tant, el sector sòlid ΒΓΖΘ és igual al rombe sòlid ΒΔΖΘ. Extreient el con comú base del qual és un cercle al voltant d'un diàmetre ΒΖ mentre que altura, ΕΘ, per tant, el con restant ΒΔΖ és igual al segment de l'esfera ΒΖΓ.

I, d'una manera semblant, també serà provat el con ΒΚΖ igual al segment de l'esfera ΒΑΖ. En efecte, atès que, com ΘΓΕ, conjuntament, respecte de ΓΕ, així és ΚΕ respecte d'ΕΑ, per tant, per divisió, com ΚΑ respecte d'ΑΕ, així ΘΓ respecte de ΓΕ. Però ΘΓ és igual a ΘΑ i, per tant, per alternança, com ΚΑ respecte d'ΑΘ, així és ΑΕ respecte d'ΕΓ. De manera que també, per composició, com ΚΘ respecte de ΘΑ, ΑΓ respecte de ΓΕ (és a dir, el quadrat a partir de ΒΑ respecte del quadrat νοείσθω [ὁ] κῶνος ὁ Ν ἴσον ἔχων τὸ ὕψος τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας. ἴσος ἄρα ἐστὶ τῷ ΒΘΖΑ στερεῷ τομεῖ. [τοῦτο γὰρ ἐν τῷ πρώτῳ δέδεικται]. καὶ ἐπεὶ ἐδείχθη, ὡς ἡ ΚΘ πρὸς ΘΑ, οὕτως τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΒΕ, τουτέστι τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Ν κύκλου πρὸς τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ περὶ διάμετρον τὴν ΒΖ κύκλου, τουτέστιν ὁ Ν κύκλος πρὸς τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον, ἴση δὲ ἡ ΑΘ τῷ ὕψει τοῦ Ν κώνου, ὡς ἄρα ἡ ΚΘ πρὸς τὸ ὕψος τοῦ Ν κώνου, οὕτως ὁ Ν κύκλος πρὸς τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον. ἴσος ἄρα ἐστὶν ὁ Ν κῶνος, τουτέστιν ὁ ΒΘΖΑ τομεύς, τῷ ΒΘΖΚ σχήματι. κοινὸς προσκείσθω ὁ κῶνος, οὗ βάσις μὲν ὁ περὶ τὴν ΒΖ κύκλος, ὕψος δὲ ἡ ΕΘ. ὅλον ἄρα τὸ ΑΒΖ τμῆμα τῆς σφαίρας ἴσον ἐστὶν τῷ ΒΖΚ κώνῳ. ὅπερ ἔδει δεῖξαι.



⌈ΠΟΡΙΣΜΑ⌉

Καὶ φανερόν, ὅτι γίγνεται καθόλου τμῆμα σφαίρας πρὸς κῶνον τὸν βάσιν μὲν ἔχοντα τὴν αὐτὴν τῷ τμήματι καὶ ὕψος ἴσον, ὡς συναμφότερος ἥ τε ἐκ τοῦ κέντρου τῆς σφαίρας καὶ ἡ κάθετος τοῦ λοιποῦ τμήματος πρὸς τὴν κάθετον τοῦ λοιποῦ τμήματος.

a partir de BE). Al seu torn, doncs, estigui posat un cercle N que tingui igual el radi a AB. Per tant, és igual a la superfície del segment BAZ. I sigui considerat [el] con N que tingui igual l'altura al radi de l'esfera. Per tant, és igual al sector sòlid BΘZA [ja que això ha estat provat en el primer llibre.] I, atès que fou provat que, com KΘ respecte de ΘA, així el quadrat a partir d'AB respecte del quadrat a partir de BE (és a dir, el quadrat a partir del radi del cercle N respecte del quadrat a partir del radi d'un cercle al voltant d'un diàmetre BZ, és a dir, el cercle N respecte d'un cercle al voltant d'un diàmetre BZ), però AΘ és igual a l'altura del con N, per tant, com KΘ respecte de l'altura del con N, així el con N respecte d'un cercle al voltant d'un diàmetre BZ. Per tant, el con N (és a dir, el sector BΘZA) és igual a la figura BΘZK. Hi estigui juxtaposat un con comú base del qual és un cercle al voltant de BZ mentre que altura, EΘ. Per tant, la totalitat del segment de l'esfera ABZ és igual al con BZK, cosa que precisament calia provar.



⌈Porisma⌉

I és clar que, en general, un segment d'esfera respecte d'un con que té base la mateixa que el segment mentre que altura igual, resulta com tant el radi de l'esfera com la perpendicular del segment restant, conjuntament, respecte de la perpenὡς γὰρ ἡ ΔΕ πρὸς ΕΓ, οὕτως ὁ ΔΖΒ κῶνος, τουτέστι τὸ ΒΓΖ τμῆμα, πρὸς τὸν ΒΓΖ κῶνον.

Τῶν αὐτῶν ὑποκειμένων, ὅτι καὶ ὁ ΚΒΖ κῶνος ἴσος ἐστὶ τῷ ΒΑΖ τμήματι τῆς σφαίρας.



ἔστω γὰρ ὁ Ν κῶνος βάσιν μὲν ἔχων [τὴν] ἴσην τῇ ἐπιφανείᾳ τῆς σφαίρας, ὕψος δὲ τὴν ἐκ τοῦ κέντρου τῆς σφαίρας· ἴσος ἄρα ἐστὶν ὁ κῶνος τῇ σφαίρᾳ [ἡ γὰρ σφαῖρα δέδεικται τετραπλασία τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος τὸν μέγιστον κύκλον καὶ ὕψος τὴν ἐκ τοῦ κέντρου. ἀλλὰ μὴν καὶ ὁ Ν κῶνος τοῦ αὐτοῦ ἐστι τετραπλάσιος, ἐπεὶ καὶ ἡ βάσις τῆς βάσεως καὶ ἡ ἐπιφάνεια τῆς σφαίρας τοῦ μεγίστου κύκλου τῶν ἐν αὐτῇ]. καὶ ἐπεί ἐστιν, ὡς συναμφότερος ἡ ΘΑ, ΑΕ πρὸς ΑΕ, ἡ ΔΕ πρὸς ΕΓ, διελόντι καὶ ἐναλλάξ, ὡς ἡ ΘΓ πρὸς ΓΔ, ἡ ΑΕ πρὸς ΕΓ. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ ΚΕ πρὸς ΕΑ, συναμφότερος ἡ ΘΓΕ πρὸς ΓΕ, διελόντι καὶ ἐναλλάξ, ὡς ἡ ΚΑ πρὸς ΓΘ, τουτέστι πρὸς ΘΑ, οὕτως ἡ ΑΕ πρὸς ΕΓ, τουτέστιν ἡ ΘΓ πρὸς ΓΔ. καὶ συνθέντι ἴση δὲ ἡ ΑΘ τῇ ΘΓ. ὡς ἄρα ἡ ΚΘ πρὸς ΘΓ, ἡ ΘΔ πρὸς ΔΓ, καὶ ὅλη ἡ ΚΔ πρὸς ΔΘ ἐστιν, ὡς ἡ ΔΘ πρὸς ΔΓ, τουτέστιν ὡς ἡ ΚΘ πρὸς ΘΑ. ἴσον ἄρα τὸ ὑπὸ ΔΚ, ΘΑ τῷ ὑπὸ τῶν ΔΘΚ. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ ΚΘ πρὸς ΘΓ, ἡ ΘΔ πρὸς ΓΔ, ἐναλλάξ· ὡς δὲ ἡ ΘΓ πρὸς ΓΔ, ἐδείχθη ἡ ΑΕ πρὸς ΕΓ· ὡς ἄρα ἡ ΚΘ πρὸς ΘΔ, ἡ ΑΕ πρὸς ΕΓ. καὶ ὡς ἄρα τὸ ἀπὸ ΚΔ πρὸς τὸ ὑπὸ ΚΘΔ, τὸ ἀπὸ ΑΓ πρὸς τὸ ὑπὸ τῶν ΑΕΓ. τὸ δὲ ὑπὸ τῶν ΚΘΔ ἴσον ἐδείχθη τῷ ὑπὸ ΚΔ, ΑΘ. ὡς ἄρα τὸ ἀπὸ ΚΔ πρὸς τὸ ὑπὸ τῶν ΚΔ, ΑΘ, τουτέστιν ἡ ΚΔ πρὸς ΑΘ, τὸ ἀπὸ ΑΓ πρὸς τὸ ὑπὸ ΑΕΓ, τουτέστι πρὸς τὸ ἀπὸ ΕΒ. καί ἐστιν ἴση ἡ ΑΓ τῇ ἐκ τοῦ κέντρου τοῦ Ν κύκλου. ὡς ἄρα τὸ ἀπὸ τῆς ἐκ dicular del segment restant, ja que, com ΔE respecte d'EΓ, així el con ΔZB (és a dir, el segment BΓZ) respecte del con BΓZ.

Suposant el mateix, <jo dic> que també el con KBZ és igual al segment de l'esfera BAZ.



En efecte, heus aquí el con N, que té base igual a la superfície de l'esfera mentre que altura el radi de l'esfera. Per tant, el con és igual a l'esfera [ja que ha estat provat que l'esfera és el quàdruple del con que té base el cercle màxim mentre que altura el radi. Tanmateix, clarament el con N és també el quàdruple d'aquest mateix <con>, atès que la base ho és de la base i la superfície de l'esfera ho és del cercle màxim dels seus cercles]. I, atès que, com ΘA, AE, conjuntament, respecte d'AE, és ΔE respecte d'EΓ, per divisió i per alternança, com ΘΓ respecte de ΓΔ, AE respecte d'EΓ. Al seu torn, atès que, com KE respecte d'EA, és ΘΓE, conjuntament, respecte de ΓE, per divisió i per alternança, com KA respecte de ΓΘ (és a dir, respecte de ΘA), així AE respecte d'EΓ (és a dir, ΘΓ respecte de ΓΔ). I per composició; però AΘ és igual a ΘΓ. Per tant, com KΘ respecte de ΘΓ, ΘΔ respecte de ΔΓ, també és la totalitat de KΔ respecte de ΔΘ, com ΔΘ respecte de ΔΓ (és a dir, com KΘ respecte de ΘA). Per tant, el rectangle ΔK, ΘA és igual al comprès per ΔΘK. Al seu torn, atès que, com KΘ respecte de ΘΓ, és ΘΔ respecte de ΓΔ, per alternança. Però com ΘΓ respecte de ΓΔ, fou provat AE respecte d'EΓ. Per tant, com KΘ respecte de ΘΔ, AE respecte d'EΓ. I, per tant, com el quadrat a partir de KΔ respecte del rectangle KΘΔ, el quadrat a partir τοῦ κέντρου τοῦ Ν κύκλου πρὸς τὸ ἀπὸ ΒΕ, τουτέστιν ὁ Ν κύκλος πρὸς τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον, οὕτως ἡ ΚΔ πρὸς ΑΘ, τουτέστιν ἡ ΚΔ πρὸς τὸ ὕψος τοῦ Ν κώνου. ἴσος ἄρα ἐστὶν ὁ Ν κῶνος, τουτέστιν ἡ σφαῖρα, τῷ ΒΔΖΚ στερεῷ ῥόμβῳ [ἢ οὕτως· ἔστιν ἄρα, ὡς ὁ Ν κύκλος πρὸς τὸν περὶ διάμετρον τὴν ΒΖ κύκλον, οὕτως ἡ ΔΚ πρὸς τὸ ὕψος τοῦ Ν κώνου. ἴσος ἄρα ἐστὶν ὁ Ν κῶνος τῷ κώνῳ, οὗ βάσις μέν ἐστιν ὁ περὶ διάμετρον τὴν ΒΖ κύκλος, ὕψος δὲ ἡ ΔΚ· ἀντιπεπόνθασιν γὰρ αὐτῶν αἱ βάσεις τοῖς ὕψεσιν. ἀλλ᾽ οὗτος ὁ κῶνος ἴσος ἐστὶ τῷ ΒΚΖΔ στερεῷ ῥόμβῳ· καὶ ὁ Ν ἄρα κῶνος, τουτέστιν ἡ σφαῖρα, ἴση ἐστὶ τῷ ΒΖΚΔ στερεῷ ῥόμβῳ]. ὧν ὁ ΒΔΖ κῶνος ἴσος ἐδείχθη τῷ ΒΓΖ τμήματι τῆς σφαίρας· λοιπὸς ἄρα ὁ ΒΚΖ κῶνος ἴσος ἐστὶ τῷ ΒΑΖ τμήματι τῆς σφαίρας.

⌈γ′⌉

Τρίτον ἦν πρόβλημα τόδε τὴν δοθεῖσαν σφαῖραν ἐπιπέδῳ τεμεῖν, ὅπως αἱ τῶν τμημάτων ἐπιφάνειαι πρὸς ἀλλήλας λόγον ἔχωσιν τὸν αὐτὸν τῷ δοθέντι.

γεγονέτω, καὶ ἔστω τῆς σφαίρας μέγιστος κύκλος ὁ ΑΔΒΕ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΒ, καὶ ἐκβεβλήσθω πρὸς τὴν ΑΒ ἐπίπεδον ὀρθόν, καὶ ποιείτω τὸ ἐπίπεδον ἐν τῷ ΑΔΒΕ κύκλῳ τομὴν τὴν ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΒΔ.

ἐπεὶ οὖν λόγος ἐστὶ τῆς ἐπιφανείας τοῦ ΔΑΕ τμήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ ΔΒΕ τμήματος, ἀλλὰ τῇ ἐπιφανείᾳ τοῦ ΔΑΕ τμήματος ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΑΔ, τῇ δὲ ἐπιφανείᾳ τοῦ ΔΒΕ τμήματος ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΔΒ, ὡς δὲ οἱ εἰρημένοι κύκλοι πρὸς ἀλλήλους, οὕτως τὸ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΒ, τουτέστιν ἡ ΑΓ πρὸς ΓΒ, λόγος ἄρα τῆς ΑΓ πρὸς ΓΒ δοθείς· ὥστε δοθέν ἐστι τὸ Γ σημεῖον. καί ἐστι τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΔΕ· θέσει ἄρα καὶ τὸ διὰ τῆς ΔΕ ἐπίπεδον.

συντεθήσεται δὴ οὕτως. ἔστω σφαῖρα, ἧς μέγιστος κύκλος ὁ ΑΒΔΕ καὶ διάμετρος ἡ ΑΒ, ὁ δὲ δοθεὶς λόγος ὁ τῆς Ζ πρὸς Η, καὶ τετμήσθω ἡ ΑΒ κατὰ τὸ Γ, ὥστε εἶναι, ὡς τὴν ΑΓ πρὸς ΒΓ, οὕτως τὴν Ζ πρὸς Η, καὶ διὰ τοῦ Γ ἐπιπέδῳ τετμήσθω ἡ σφαῖρα πρὸς ὀρθὰς τῇ ΑΒ εὐθείᾳ, καὶ ἔστω κοινὴ τομὴ ἡ ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΒ, καὶ ἐκκείσθωσαν δύο κύκλοι οἱ Θ, Κ, ὁ μὲν Θ ἴσην ἔχων τὴν ἐκ τοῦ κέντρου τῇ ΑΔ, ὁ δὲ Κ τὴν ἐκ τοῦ κέντρου ἴσην ἔχων τῇ ΔΒ. ἔστιν ἄρα ὁ μὲν Θ κύκλος ἴσος τῇ d'AΓ respecte del comprès per AEΓ. Però el comprès per KΘΔ fou provat igual al KΔ, AΘ. Per tant, com el quadrat a partir de KΔ respecte del rectangle comprès per KΔ, AΘ (és a dir, KΔ respecte d'AΘ), el quadrat a partir d'AΓ respecte del rectangle AEΓ (és a dir, respecte del quadrat a partir d'EB). I AΓ és igual al radi del cercle N. Per tant, com el quadrat a partir del radi del cercle N respecte del quadrat a partir de BE (és a dir, el cercle N respecte d'un cercle al voltant d'un diàmetre BZ), així KΔ respecte d'AΘ (és a dir, KΔ respecte de l'altura del con N). Per tant, el con N (és a dir, l'esfera) és igual al rombe sòlid BΔZK. [o així: per tant, com el cercle N respecte d'un cercle al voltant d'un diàmetre BZ, així és ΔK respecte de l'altura del con N. Per tant, el con N és igual al con base del qual és un cercle al voltant d'un diàmetre BZ i altura, ΔK, ja que les seves bases són inversament proporcionals a les altures. Tanmateix, aqueix con és igual al rombe sòlid BKZΔ. Per tant, el con N (és a dir, l'esfera) és igual al rombe sòlid BZKΔ]. D'aquests, el con BΔZ fou provat igual al segment de l'esfera BΓZ. Per tant, el con restant BKZ és igual al segment de l'esfera BAZ.

⌈3⌉

El tercer problema era aquest: tallar una esfera donada amb un pla de tal manera que les superfícies dels segments, l'una respecte de l'altra, tinguin la mateixa raó que la donada.

Heus aquí que n'ha resultat, i heus aquí un cercle màxim de l'esfera AΔBE i un diàmetre seu AB. Estigui allargat un pla ortogonal respecte d'AB, el pla en el cercle AΔBE faci una secció ΔE i estiguin unides AΔ, BΔ.

Així, doncs, atès que hi ha una raó de la superfície del segment ΔAE respecte de la superfície del segment ΔBE, tanmateix, a la superfície del segment ΔAE és igual un cercle el radi del qual és igual a AΔ, però a la superfície del segment ΔBE és igual un cercle el radi del qual és igual a ΔB i, com els cercles esmentats, l'un respecte de l'altre, així el quadrat a partir d'AΔ respecte del quadrat a partir de ΔB (és a dir, AΓ respecte de ΓB), per tant, una raó d'AΓ respecte de ΓB està donada, de manera que el punt Γ està donat. I ΔE és ortogonal a AB. Per tant, el pla per ΔE també <donat> en posició.

Serà sintetitzat, doncs, així: heus aquí una esfera un cercle màxim de la qual ABΔE, i un diàmetre AB. Heus aquí una raó donada, la de Z respecte d'H i estigui tallada AB per Γ de manera que, com AΓ respecte de BΓ, així sigui Z respecte d'H. Estigui tallada l'esfera amb un pla per Γ ortogonal a la recta AB i heus aquí la secció comuna ΔE. Estiguin unides AΔ, ΔB, i estiguin disposats dos cercles Θ, K, tenint Θ el radi igual a AΔ, mentre que tenint K el radi igual a ΔB. És, ἐπιφανείᾳ τοῦ ΔΑΕ τμήματος, ὁ δὲ Κ τοῦ ΔΒΕ τμήματος· τοῦτο γὰρ προδέδεικται ἐν τῷ πρώτῳ βιβλίῳ. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΑΔΒ καὶ κάθετος ἡ ΓΔ, ἔστιν, ὡς ἡ ΑΓ πρὸς ΓΒ, τουτέστιν ἡ Ζ πρὸς Η, τὸ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΒ, τουτέστι τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Θ κύκλου πρὸς τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Κ κύκλου, τουτέστιν ὁ Θ κύκλος πρὸς τὸν Κ κύκλον, τουτέστιν ἡ ἐπιφάνεια τοῦ ΔΑΕ τμήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ ΔΒΕ τμήματος τῆς σφαίρας.



⌈δʹ⌉

Τὴν δοθεῖσαν σφαῖραν τεμεῖν, ὥστε τὰ τμήματα τῆς σφαίρας πρὸς ἄλληλα λόγον ἔχειν τὸν αὐτὸν τῷ δοθέντι.

ἔστω ἡ δοθεῖσα σφαῖρα ἡ ΑΒΓΔ. δεῖ δὴ αὐτὴν τεμεῖν ἐπιπέδῳ, ὥστε τὰ τμήματα τῆς σφαίρας πρὸς ἄλληλα λόγον ἔχειν τὸν δοθέντα.

τετμήσθω διὰ τῆς ΑΓ ἐπιπέδῳ. λόγος ἄρα τοῦ ΑΔΓ τμήματος τῆς σφαίρας πρὸς τὸ ΑΒΓ τμῆμα τῆς σφαίρας δοθείς. τετμήσθω δὲ ἡ σφαῖρα διὰ τοῦ κέντρου, καὶ ἔστω ἡ τομὴ μέγιστος κύκλος ὁ ΑΒΓΔ, κέντρον δὲ τὸ Κ καὶ διάμετρος ἡ ΔΒ, καὶ per tant, el cercle Θ igual a la superfície del segment ΔAE, mentre que el K, a la superfície del segment ΔBE, ja que això ha estat provat abans en el primer llibre. I, atès que l'angle AΔB és ortogonal i ΓΔ, una perpendicular, com AΓ respecte de ΓB (és a dir, Z respecte d'H) és el quadrat a partir d'AΔ respecte del quadrat a partir de ΔB (és a dir, el quadrat a partir del radi del cercle Θ respecte del quadrat a partir del radi del cercle K; és a dir, el cercle Θ respecte del cercle K; és a dir, la superfície del segment ΔAE respecte de la superfície del segment de l'esfera ΔBE).



[4]

Tallar una esfera donada de manera que els segments de l'esfera, l'un respecte de l'altre, tinguin la mateixa raó que la donada.

Heus aquí una esfera donada ABΓΔ. Cal tallar-la, doncs, amb un pla, de manera que els segments de l'esfera, l'un respecte de l'altre, tinguin una raó donada.

